BIBLIO
Sala: A
Estante: 4
Numero: 2

Nº 3

E

D

ERI V

Del Coll.º de la Comp.ª de Ihs de Granada.

# ΠΡΟΣ ΓΡΗΓΟΡΙΟΝ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΝ

## ΥΠΑΤΟΝ ΑΡΧΙΕΡΕΑ.

ΤΙΤΟΥ ΠΡΟΣΠΕΡΟΥ ΜΑΡΤΙΝΕΓΓΙΟΥ
μοναχοῦ βριξιανοῦ ποιήματα διάφορα ἑλληνικά καὶ λατινικά, ὧν μὲν τὰ πλεῖστά εἰσι θεῖά τε καὶ ἱερά.

T. PROSPERI MARTINENGII
*Brixiani Monachi poemata diuersa cum Græca, tum Latina, quæ quidem magna ex parte diuina sunt & sacra.*



ROMAE

Apud Franciscum Zanettum. M D LXXXII.

PERMISSV SVPERIORVM.

Πίναξ τῶν περιεχομένων.


Ὕμνος εἰς τὸν σωτῆρα ἡμῶν Ἰησοῦν Χριστόν.
Ὕμνος εἰς τὴν παναγίαν θεοτόκον Μαρίαν.
Εἰς τὴν αὐτὴν ἐγερεῖον, ὅτι ἐστὶ τὸ φορεῖον τοῦ θεοῦ.
Ὠδὴ περὶ τῶν αὐτῆς ἐπικλεῶν ὀνομάτων.
Ποικίλαι τινὲς ἄλλαι ᾠδαὶ καὶ ἐπιγράμματα ἱερά.
Ὕμνος μέγας εἰς τοὺς ἁγίους ἀποστόλους Παῦλον, καὶ Πέτρον.
Ἄλλη ᾠδὴ εἰς τὸν μακάριον Παῦλον, καὶ τοῖς μὲν κἄλλα ἐπιφέρεται ἀθύρματα οὐκ ἄμουσα καὶ μετὰ ταῦτα ποίημά τι λατινικὸν ἐπικαλούμενον θεοτοκωδία εἰς τῆς μεγάλης θεοτόκου ἔπαινον γεγραμμένον.




# ΠΡΟΣ ΓΡΗΓΟΡΙΟΝ ΙΓ.

## ΑΡΧΙΕΡΕΑ ΜΕΓΙΣΤΟΝ

### καὶ κράτιστον ἄρχοντα.

Οὐ μόνον αὐσονίης πανεπίσκοπε κοίρανʼ ὀφείλει
γρηγόρι ἀρχιερεῦ, σοὶ φέρτατε χῶρα πρόπασα,
πᾶσαν ἐν εἰρήνῃ τὴν τηρεῖς ἠδὲ γαλήνῃ
ἀνθεῦσαν σπουδαῖσι καλαῖς, κλειναῖσί τε τέχναις,
οὕνεκεν αἱρέσιας, καὶ λυμαντῆρας ἐλαύνεις
καὶ πόλεμον πολύδακρυν, ἰδὲ στάσιν ἀλγινόεσσαν.
ἀλλὰ καὶ ἑλλήνων δυστήνων φῦλον ὀφείλει
σαῖς εὐεργεσίῃσι φιλοφροσύνῃσί τʼ ἀγαυαῖς.
τοὺς μέγα κόσμησας ῥώμης ἀγαγὼν πτολίεθρον
τῶν παῖδας, κτίσας τε μέγαν σφίσι σύλλογον αὐτὸς,
γυμνάσιόν τε καλὸν, καὶ ἀνάκτορον ἀθανάτοιο,
πάντα ποριζόμενός σφιν ὀφέλσιμα, χρήσιμα πάντα.
ἔνθα διδάσκονται τέχνας τε καὶ ἤθεα σεμνὰ,
τέθμιά τʼ ὀρθὰ πατρῶν, καὶ δόγματα θεῖα παλαιῶν.
πρὸς δʼ ἔτι γρηγόρειον μέγαν ἀρχιερῆα γέρηρας,
θεολόγον τε μέγαν σὸν ὁμώνυμον, ὅν σὺ βιώνῃ,
ἠδὲ διδασκαλίῃ μιμήσαο, εὐσεβίῃ τε,
οὔτι φερωνυμίῃ μοῦνον. τοῦ τύμβον ἔδειμας,
ἠδὲ σεβάσμιον ἱερὸν, ὃ καὶ μακάρεσσιν ἀγητὸν,

ταύτῃ

ταύτῃ μαρμαῖρον χρυσῷ, καὶ κίοσι πολλαῖς
δαιδαλέαις, λαμπραῖς, τιμαλφέσιν, ἔνθα δʼ ἔθηκας
λείψανα τιμήεντα θεοπρεπέος θεράποντος,
ὥσκεν ἐοικυίας τιμῆς παρὰ πᾶσι κυρήσῃ.
ταῦτα δʼ ἰδὼν στοργῆς σέο δείγματα πρὸς τόδε φῦλον
εὐμενὲς, ἐφράσθην ἀναθεῖναι σοὶ πάτερ ὕμνους
τούσδʼ ἱεροὺς, φωνῇ τοὺς ἑλλάδι ἤνυσʼ ἀοιδὸς
ὑμναγόρεας μετιὼν πολυανθέας, οἷα μέλισσα
λειμῶνας φιλοεργὸς ἀμέργων ποικίλον ἄνθος,
φημὶ δʼ ἀοιδοπόλων συγγράμματα κομψὰ παλαιῶν.
οἷάπερ αἴγυπτον σκυλεύων, ὥς ποτε μωσῆς,
χαλκόν τε, χρυσόν τε ἅλις, ἐσθῆτά θʼ ὑφαντήν.
δέξο δὲ ταῦτα πάτερ, καὶ τέρπεο θυμὸν ἀοιδαῖς
θεσπεσίῃσιν, ἐπεὶ σύ γʼ ἀοιδέων ἄξια ποιεῖς.
καὶ σέθεν εὐλογίην προπόλῳ πόρσυνον ἔμοιγε.

# AD GREGORIVM XIII,

## PONT. MAX.

*Haud solum Italiæ Patrum pater optime tota,*
*Gregori antistes, regio tibi debet opima,*
*Quod pacata viget per te, tranquillaque floret*
*Eximijs studijs & honestis artibus aucta;*
*Arcentem sectas corruptoresque profanos,*

*Nec mala seditio se huc ingerit, aut graue bellum.*
*Verum etiam debet tibi gens miserabilis omnis,*
*Muneribusque tuis amplis, factisque benignis*
*Graiorum, gnatos quod eorum inducis in vrbem*
*Romanam, atque ipsis collegia gymnasiumque*
*Nobile fundasti, templumque insigne diserti*
*Athanasi, præbens quod in vsum cumque sit ipsis.*
*Artibus hic iuuenes, & honestis instituuntur*
*Moribus, hic ritus, Romanaque dogmata discunt.*
*Adde quod egregium Doctorem, Pontificemque*
*Maximum honorasti, cuius memorabile gestas*
*Nomen, & hunc studio, vita, ac pietate imitaris,*
*Nomine non tantum, cui nunc insigne sepulchrum*
*Struxisti, & templum superis mirabile & ipsis.*
*Vndique præfulgens auro, multisque columnis*
*Marmoreis, nitidis, pretiosis, hicque locasti*
*Relliquias sanctas, diuinique ossa ministri,*
*Rite vt honorentur populis, & rite colantur.*
*Hæc animaduertens pietatis signa paternæ*
*Tot genus in Græcum, creui tibi Sancte dicare*
*Hosce hymnos, Græca quos feci voce Poeta*
*Hymnidicus peragrans viridantia prata colores*
*Diuersos, vt apis, decerpens sedula florum.*
*Nempe poetarum priscorum scripta diserta,*
*Aegyptum expolians, ceu Moses fecerat olim*
*Argentum, fuluumque aurum, vestesque decoras.*
*Accipe sancte Pater ergo hæc, & pascito mentem*
*Carmine diuino, quoniam tu carmine digna*
*Facta geris, benedicque tuo famulo optime Princeps.*

ΤΙΤΟΥ ΠΡΟΣΠΕΡΟΥ ΜΑΡΤΙ-
νεγγίου τε τοῦ ἁγιωτάτου πατρὸς Βενεδίκτου
μοναχοῦ, καὶ τῆς μονῆς τῆς ἱερομάρ-
τυρος εὐφημίας τῆς ἐν
ἄστει βριξίας
ξοφίμου ὕμνοι πνευματικοὶ πρὸς Γουλίελμον
Σιρλέτον Καρδινάλιον τὸν μεγα-
λοπρεπέστατον καὶ θεο-
σεβέστατον.

ΑΩτε θεῖε ῥωμύλου συνεδρίου,
ἄστρον φαεινὸν εὐκλεῶν μαθημάτων,
πάσης καλῆς τ' ἐλευθέρου παιδεύσεως,
ἄριστε πατέρων Γουλίελμε φερτάτων,
εἰς ἄστυ ῥώμης κάλχη ἀμφιέννυσιν,
ἑκὼν φέρω σοι τοὺς καλοὺς πόνους ἐμούς,
οἷον μεγίστῳ γραμμάτων ἀρχηγέτῃ,
ὕμνους δέ φημι, καὶ θεὸν σέβοντ' ἔπη,
καὶ τὴν παναγνὸν παρθένον θεοτόκον,
σεπτὴν πάρεδρον, σύνθρονόν θ' ὑψίστῳ θεῷ.
ὁμοῦ δ' ἐπαίνοις τοῖσδ' ἱρὴν ξυνωρίδα
πέτρου προσῆψα καὶ παύλου σοφὸν μέρος.
προσῆψα κἄλλα κομψὰ τοῖς μελύδρια,
οἵσοντα τέρψιν τοῖς φρένας δαήμοσιν.
Τοιγὰρ σὺ δέξαι, καὶ διόρθωσον τάδε,
ὡσεὶ τ' ἀπαρχάς, καί τιν' ἀκροθίνια,

ὅπως

ὅπως δύναιτο φοῖβον ἐς φάος μολεῖν
εὐσχημονοῦντα σοῖς καλοῖς δαιδάλμασιν.
ἢν δ' αὖτ' ὀρέξῃ μοι θεὸς μῆκος βίου,
φόρμιγγα πινδάρειον αἰόλον κροτεῖν
οὐκ ἐκλίποιμι, καὶ κρατίστην μητέρα
μολπαῖσι δώσω, καὶ καλαῖς μουσῶν ῥοαῖς.
σωτῆρά τ' ἀνδρῶν τῆς δ' ὑπέρτατον γόνον
ἡμεῖς πινύσσων αὔσονας θεῖα θροεῖν
μύθοις λιπόντας, καὶ βέβηλ' ἀείσματα.

## ΕΙΣ ΧΡΙΣΤΟΝ ΤΟΝ ΘΕΟΝ ΗΜΩΝ καὶ τοῦ κόσμου λυτρωτὴν μέγαν ὕμνος εὐχαριστήριος.

ΕΝ ζωῇ τίκε λῷον ἔοι, τίνυ κάλλιον ἄλλο
αἰέει μουσοτερόπῳ, καὶ παιδόθεν ὄντι μονάστῃ
εἰσόκεν ἀμπνεύσῃ, καὶ ὁρᾷ φάος ἠελίοιο,
ἢ ἐ θεὸν σφέτερον, σφέτερον σωτῆρα γεραίρειν,
ὄρχαμον οὐρανιδῶν γλυκεραῖς μολπαῖσι καὶ ὕμνοις;
τόν ῥα λόγον σοφοὶ ἄνδρες ἐπικλείουσι θεοῖο,
μουνογενῆ τε γόνον, καὶ τοὔνομα πατρὸς ἀνάρχου,
πατρὸς ἀληθείην, ζάθεον γεννήτορος ὄζον,
ἀθάνατόν τε κλέος πάτριον, χαρίεντε πρόσωπον,
δεξιτερήν τε θεοῦ, δύναμιν, σοφίην τ' ἐριλαμπῆ,
πατροφανές τ' ἀμάρυγμα, δίκης μέγαν ἥλιον ἁγνῆς,
πρωτόγονον παλάχην πάντων στοιχεῖον ἀμεμφές.
ὅς ποτε γαῖαν ἔτευξε, καὶ οὐρανὸν εὐρὺν ὕπερθεν,
οὐρανὸν αἰγλήεντα κεκασμένον ἄστρασι λαμπροῖς,
ἠελίου τε κύκλον χαροπὸν, λιπαρήν τε σελήνην,
καὶ πηγὰς ὑδάτων, ὀρέων τ' αἰπεινὰ κάρηνα,
ἀνθρώπων τε γένος, καὶ ὁμήγυριν οὐρανιώνων,
ὅσσα βροτοῖς τ' ἐπίοπτα, καὶ οὐκ ἐπίοπτα τέτυκται

ἀθανάτοιο πατρὸς ζαθέην ἰότητα τελέσσας.
τοῦ δύναμις, σοφίη τε, καὶ ἄφθιτον οὔνομ' ὑπάρχει.
οἷα θεοῦ ζώοντος ἐτήτυμος υἱὸς ἀμύμων,
τῷ γενετῆρι φίλῳ πανομοίιος. ἣ γὰρ ἀπ' ἀρχῆς
οἰογόνῳ πόρε παιδὶ πατρῷϊα πάντα φέρεσθαι.
παῖδα θεὸς δ' ἐφύτευσε πατὴρ ὁμότιμον ἑαυτῷ,
ἀέναόν τε κράτος, καὶ ἀπείρονα δόξαν ἔχοντα.
οὐδέτι χωρὶς ἔχει πατρίου πλὴν εὔχεος αὐτὸς
ἰσοφυὴς τέκνοιο πατὴρ φίλος, οἷά περ αἴγλης
ἠέλιος φαέθων, τὴν φύεται ἐξ ἔθεν αὐτοῦ,
οἷά θ' ὁμόγνιον ἔρνος ἑοῦ δένδροιο τέθηλεν,
καὶ κρήνης ὀχετὸς, καὶ φλὸξ πυρὸς αἰθομένοιο,
οὐδέ τι τέκνον ἔχει μεγάλου ἀπάνευθε τοκῆος,
πλὴν ὅτι τηλυγέτης, καὶ γνήσιος, ἰθαγενής τε
αὐτὸς ἑοῦ γενετῆρος ἀμύμονος υἱὸς ἀκούει,
ἐξ αὐτοῦ κραδίης τεκνώμενος οἷος ἀπ' ἄλλων
αἰώνων προπάροιθεν ἀτεκμάρτοισι γονῇσιν
μητρὸς ἄνευθε φίλης, πατρὶ εἴκελος, ἠδ' ἀτάλαντος.
τοῦτον ἔγωγ' ἐὼ δοῦλος ἐέλδομαι αἰὲν ἀείδειν,
τοῦτον ἀνυμνῆσαι πάντ' ἤματα θεσπιδὶ φωνῇ,
εὐκελάδων προχέων θεοτερπέα κόμπον ἀοιδέων,
ἀντ' εὐεργεσιῶν, τάς μοι πόρε, παντοδαπάων.
πάντα γὰρ ὅσσα περ εἰμὶ, καὶ ἔσσομαι, αὐτὸς ἔδωκεν
παντοίων ἀγαθῶν ζωαρκέα δῶρα κομίζων,
οἷα μέγας ταμίης κτεάνων πατρὸς οὐρανίοιο.
ἀλλὰ θεοῦ μεγάλοιο τίς ἄσπετον αἶνον ἀείσαι;
τίς δὲ κλέος βασιλῆος ὀλύμπια δώματ' ἔχοντος;
οὐ γένετ', οὐκ ἔσται. τίπτεν φύσιν οἶδεν ἄνακτος,
ὅς ἀνέφυσε φύσιν παμμήτορα, πρεσβυγένειαν,
καὶ πληθὺν ποίησεν ἐπουρανίων στρατιάων;





ἤτοι ὅγ' ὡσεί τ' ἔθος ὑπέρφαες ἕσσατο φέγγος,
φέγγος ἀπειρέσιον καὶ ὑπέρφυὲς, οὔτιν' ἐφικτὸν,
τὸ γνόφον, ἠὲ νέφος φημίξατο θέσπις ἀοιδή.
πάντοσε δ' ἀστράπτει τηλαυγέσι μαρμαρυγαῖσιν
παμφαὲς ὢν φέγγος, καὶ πάγκαλον, οὐδὲ γὰρ αὐτῷ
ἠέλιος δύναται φαεσίμβροτος ἰσοφαρίζειν,
ἀκτῖνάς περ ἔχων περιφεγγέας. οὐ γὰρ ἔοικεν
ἰσοπαλῆ τιμὴν τεχνήμονι μῆχος ἀείρειν.
τίς δὲ φράδας βασιλῆος, καὶ ἄφθιτα μήδεα σεῖο,
ἢ σθένος ἀκαμάτοιό ποτ' εἰπεῖν ἴσχυσεν ἀλκῆς;
οὔτις. ἐπεὶ πάσης σοφίης τ' ἀλκῆς τε πέφυκας
πηγὴ ἀέναος, μοῦνός θ' ὑπέραρχος ἀρχὴ
ζωῆς, καὶ πάντων κειμήλιον ἄκρον ἐάων,
ἐξ οὗ γῆν καλῶν κρουνοὶ κατ' ἀπείρονα πάντων
κίδνανται. μεστὸς δὲ θεοῦ γεράων βαθὺς αἰθὴρ,
μεστὸν ἁλιρροθίοιο βαθύρροον οἶδμα θαλάσσης,
ὅσσά τε χεὶρ κλυτότεχνος ἔθεν τεκτήνατ' ἀπ' ἀρχῆς.
πείρατα γὰρ κόσμοιο καμὼν πολυχανδέος αὐτὸς,
πάντε τόπερ ζώει, καὶ ὁρᾷ σέλας ἀγλαὸν ἠοῦς,
τῶν ἰδίων ἀγαθῶν διεδάσσατο μοῖραν ἅπασιν,
πᾶσι μὲν, οὐ μάλα δ' ἶσα, λάχος δ' ἐκείνατο μεῖζον
αἴγλης οὐρανίδαις, ὅσσοι θεότητα φαεινὴν
εὐιεροῖς ὕμνοισι διηνεκέως κελαδεῦσιν
βουλομένην γ' ἐθέλοντες, ἀεὶ διάγουσι δ' ἐς ὦπα
ἀθανάτου βασιλῆος ἀριπρεπέες θεράποντες.
οὗ δόξαν θηεῦνται ὑπέρφαῆ ἱμερόεσσαν,
τὴν πρόφρην ἀκτῖνα θεόρρυτον ἐξαρύοντες
φωτὸς ἀκηρασίοιο διαυγέα θεῖα κάτοπτρα,
κάλλεος ἀφράστου θηήτορες ὀλβιόμοιροι,
ἐμπύριοι, ζάθεοι, θεοειδέες, ἀγλαότιμοι.

τοὺς δὲ μετεκδέχεται ἄλλης στρατὸς ἱερὸς ἀρχῆς
θεσπέσιος, καπυρός, τανυσίπτερος, οὐρανοφοίτης,
τοῖς μέν τι προτέροισιν ὑφειμένος, ἀγχιθέοισιν
ἥσσονα μέτρα φέρων, ζαθέης περικαλλέος αἴγλης.
ὅσσον ἀφίστανται γὰρ ἀπάορι ἡγεμονήων
τῶν προτέρων, τόσσον τι καὶ μεῖον φέγγος ἱκάνει.
κεῖνοι δ' ἐν πᾶσι βασιλεύτατον ἔλλαχον εὖχος,
οἳ πάντων βασιλῆϊ παραστάδον αἰὲν ἐόντες
Εἰσορόωσιν ἄδην θείης ἀμάρυγμα ὀπωπῆς
ἀσσότεροι πολλὸν θεοειδέες ἔξοχον ἄλλων.
οὐδὲ μὲν ἶσα πρόπαντα κατ' αἰθέρα λάμπεται ἄστρα,
ἀλλὰ τὰ μὲν μεῖζον, τὰ δὲ μεῖον γλῆνος ἔχουσιν.
ἄλλα τ' ἀφαυρὰ πέλει, χαροπώτερα ἄλλα φαείνει.
ἀλλ' ἔμπης καὶ τοῖς γε φόως εὐφεγγὲς ἐπανθεῖ,
καὶ γέρας ἔκπαγλόν τι θεόσσυτον. ἦ γὰρ ἅπαντα
τοίγε κυβερνῶσι τὰ κατ' αἰθέρα παμφανόωντα,
καὶ προτέρωνπερ ἐόντες ὀπίστεροι, ἠδ' ἐπιδευεῖς.
τρὶς μάκαρες κεῖνοι, καὶ τετράκις ὄλβιοί εἰσιν,
οἵπερ ἅτ' ἐν προθύροις θεὸν ἄμβροτον αἰὲν ὁρῶνται,
αἰώνων μεδέοντι παρεστάμενοι διὰ παντός.
τάξις δ' αὖ τριτάτη τριφανοῦς ἔτι μείονος ἄλλων,
ὡσεὶ θ' ἡ νεάτη θεολαμπέος ἔλλαχον αἴγλης,
ἄγγελοι αἰγλήεντες ὑδειόμενοι παρὰ πᾶσιν,
οὕνεχ' ὑπ' ἀγγελίῃσι τεταγμένοι ὑψιμέδοντος
ἐννεσίῃσιν ἄνακτος ἀν' ἠέρα, καὶ περὶ γαῖαν
φοιτῶντες μάλα κραιπνὰ μεταχθόνιοι φορέονται
πάντοσε λαιψηρῇσιν ἀγαλλόμενοι πτερύγεσσιν,
ἀνθρώπων φύλακες ἐγκόσμιοι αἰολόμορφοι,
ὑψίστοιο λόγοιο διάκτορες ἀγλαότιμοι,
ἔνθεοι, ὑψιπετεῖς, σημάντορες, ἠερόπλαγκτοι.





τούτων δ' οὔτις ἀριθμὸς ἐν ἠέρι γίγνεται ὄντων.
τόσσαι μέν τε νόων ἱερῶν γεράασι φάλαγγες
οὐράνιαι μεγάλῃσιν ὑποδρήσσουσαι ἐφετμαῖς.
πᾶσα δὲ θέσκελα δῶρα λελόγχασιν, ἄλλα τε πολλά,
ἅσσαπερ οἶδε θεός, σφίσιν ὃς δώρησεν ἕκαστα.
οὐκ ἂν ἀριθμὸν ἐγὼ μυθήσομαι, οὐδέ τις ἄλλος,
οὐδ' αὐτοίπερ ἴσασι τὸ μυρίον ἔθνος ἑαυτῶν.
μοῦνος δ' οἶδε θεός, σφᾶς ὃς ποίησεν ἀπ' ἀρχῆς
τείρεσι νηρίθμοισιν ἐοικότας, ἠδ' ἰσαρίθμους.
τείρεσιν, ὅσσ' ἐνάρηρεν ἐν οὐρανῷ αἰγλήεντι,
ἢ λεπταῖς ψήφοισι κυλινδομέναις κατὰ πόντον,
ἀργεστέων ῥιπαῖσιν ὅτε στυφελίζεται ὕδωρ,
ἢ χλωροῖς φύλλοισιν, ὅσ' ἦρος γίγνεται ὥρῃ.
ἡμᾶς δ' αὖ βροτὸν ἔθνος ἐπιχθονίων ἐκ τριτάτοιο
τέτρατον ἠγαθέης αἴγλης μέρος ἀμφιφαείνει.
τοῦτο δ' ἀφαυρότερον τόσσον πραπίδεσσιν ἐπανθεῖ,
ὅσσον ἀπ' οὐρανίων θνητοὶ διὰ πλεῖον ἔχοντες
οἰκοῦμεν γαίης χθαμαλῆς ζοφοειδέα χῶρον,
πολλοῖς οἷα νέφεσσιν μεμιγμένοι ἀμπλακίῃσιν.
εἰσόκε δινεόμεν τῇδ' ἐν σήραγγι δυσηχεῖ.
ἐν δ' ἄλλοις ζώοισιν ὁμῶς κατὰ μοῖραν ἅπασιν,
ὅσσά περ ἠπείρου βόσκει πέδον, ἠδὲ θάλασσα,
οὔνυ τι δωτίνης θειορρύτου ἄμμορόν ἐστιν.
ἀλλὰ φίλη ψυχὴ μή μοι τάπερ ἔργματ' ἔρεξε
μητιόεις λόγος υἱὸς ἐνὶ θεοειδέϊ μορφῇ
πειρήσαιο λέγειν, ὅθ' ὑπέρφατα φωτὶ τέτυκται,
ἀρτιεπεῖπερ ἐόντι, καὶ ἀγχινόῳ περὶ πάντων.
οὐδὲ γὰρ ἀνδρομέοισι τάδ' ὄμμασι πάντα πέφανται,
οὐδὲ νόῳ μερόπων μάλ' ἐπιφράσσασθαι ἑτοῖμα.
πλείονα δ' ἄμμιν ἄφαντα γνόφῳ κεκαλυμμένα πολλῷ

ἡ μὲν φραδμοσυνῶν κέαται μακρὰν, ἡ δὲ καὶ ὄσσων.
τῷ μοι μᾶλλον ἄειδε τάπερ βροτοειδεῖ μορφῇ
αὐτὸς ἄναξ ἤνυσε φύσει κεκερασμένος ἀνδρῶν
οὐρανόθεν καταβὰς πατρὸς μεγάλου διὰ βουλάς.
αὐτὸς γάρ μιν ἔπεμψεν ἑῇ ἐλεήμονι γνώμῃ,
ὥσκεν ἐφημερίων ταλαπείρια φῦλα σαώσῃ.
ῥᾷον δ' ἐξείποισκεν ἐπηλυσίην ἐρατεινήν,
τῇ γένος ἀνθρώπων θεὸς ἄμβροτος αὐτὸς ἐπελθὼν
ἄνθρωπος γεγαὼς ἐρρύσατο πότμον ἐπισπών,
πρεσβυτάτων στρατιῶν προλιπὼν θεολαμπέας ἴλας.
ὡς δ' ὅτε τις ποιμὴν φίλ' ἐάσας πώεα μήλων,
βοσκομένων ἀγεληδὸν ἐν οὔρεσιν ἀκροπόλοισιν
ὦρτο μιῆς ἄλλων φιλοποίμνιος ἐσσυμένοισιν
ποσσὶ λιαζομένης ὄϊος μετ' ἴχνια βαίνειν,
ὥσκεν ἀτιμαγελοῦσαν ἄγοι ποτὶ σύννομον αὐλήν,
ὀψὲ δὲ πλαζομένην εὗρεν κατ' ἐλεασπίδας αἰνάς,
πάιπαλά τε, κρημνούς τε, καὶ ἄγκεα βησσήεντα
σφωϊτέροις ὤμοισιν ἀλήμονα θῆκεν ἀείρας,
εἰς ἄλλων τ' ἐκόμισσε παλιμπετὲς ἔθνεα μήλων
δηθὰ κεδαιομένην σφετέρῃ κακότητι καὶ ἄτῃ,
γηθόσυνος προβάτοιο δι' εὕρεσιν ὀλλυμένοιο,
τῷ δὴ πόλλ' ἐμόγησεν ἀλώμενος ἔνθα καὶ ἔνθα.
ὣς στίχας οὐρανίων στρατιῶν πανυπέρτατος ἐσθλὴν
αἰθέρος ἐν γυάλοισι λιπὼν κατὰ πάγκαλον αὐλήν,
ἤθεά τ' ἀνθρώπων μετεκίαθε, καὶ μέλαν οὖδας
ἄνθρωπος γεγαώς, καὶ ἀποπλαγχθέντα κακῇσιν
δηρὸν ἀλιτροσύνῃσι μόρον, καὶ κῆρα φερούσαις
φῦλα βροτῶν τ' ἀπέπαυσεν ἄλης, καὶ ὀϊζύος αἰνῆς,
καὶ γεραροῖς μακάρεσσι συνήορα θῆκεν ἀγείρας,
πᾶσι πορὼν ζωῆς βιοθάλμιον ἐλπίδα θείς.

τῆς



τῆς ἑκὰς αἰνόμορον πρὶν ἐδινεόμεν βροτὸν ἔθνος,
ἐξ ὅτ' ἐληλάμενοι δίης ἀπὸ τηλόθι πάτρης
ἀμφὶ πόνοις πέσομεν, θανάτῳ τε δυσηχέϊ πάντες.
τίς δ' ἀνδρῶν πρώτιστα γένος φθισήνορος ἄτης
τῆς δ' ἐπέβησε φέρων λυγρὸν κακὸν ἀντ' ἀγαθοῖο;
ἔθνεος ἀνδρομέοιο παλίγκοτος ἀγκυλομήτης
ἐχθρὸς, ἐπίκλησιν τὸν δὴ κικλήσκομεν ὄφιν,
ἀμφίπολον θανάτοιο καὶ ἀργαλέοιο μόροιο,
αὐχένακον, δόλιον, ψυχέων τ' ὀλετῆρα δαφοινόν.
οὗτος μὲν τ' ἀταλὴν φρένα παρθένου ἀγλαογύου,
τὴν θεὸς ἀνδρομένης ἐκ πλευρῆς αὐτὸς ἔδειμεν,
παρφάμενος μύθοισι κακορραφέεσσιν ἔπεισεν
θεσμὸν ἀγνοίῃσι θεόσδοτον ἐξαθερίζειν,
ὥστε θιγεῖν μήλου, τοῦ μὴ θέμις ἦεν ἀφάσσειν,
μισθὸς δ' ἦν μόρος αἰνὸς, ὅτις ἅψαιτο παράφρων.
αὐτὰρ ἐπεὶ παρέβη τε καὶ ἤνυσεν ἔργον ἀεικὲς,
ἀνδρὸς ὁμοκλήροιο παραξοπεῖσα χαλίφρων,
τῆς πλευρῆς ἔβλαστε, νόον πύκα περ φρονέοντος,
εἰς σφετέρην ἐνέηκε παραιβασίην ἀλεγεινήν.
τοὔνεκεν ἐκ τεμένους ἐπιτερπέος ἐρσήεντος,
ἐκ τε θεοδμήτου χώρου, καὶ λήξιος ἀγνῆς,
μησαμένω τόδ' ἄναξ ἀθεμίστιον ἔργον ἐλάσας,
αὐτοὺς ξὺν παίδεσσι διαμπερὲς ἤματα πάντα
θῆκεν ἀκανθοφόρου μογεροὺς ναετῆρας ἀρούρης,
καὶ χώρης κατένασσε κακῆς οἰκτροὺς μετανάστας,
ὥσκε θεοὶ συγέωσιν ὑπερβασίαισι γενέσθαι.
στεῦτο δ' ἐφημοσύνης κατεναντίον αἰνὸς ἀλάστωρ,
μή τι θανεῖν γλυκερῆς καίπερ γευσαίατ' ὀπώρης,
ἀλλὰ κακοῦ τ' ἀγαθοῦ τε δαήμονας αὐτίκ' ἔσεσθαι,
ἶσα θεοῖς μακάρεσσιν ὀλύμπια δώματ' ἔχουσιν,

ἀλλὰ

ἀλλὰ τόδ' αἴτιον ἔσκεν, ἐπεὶ παραβάντες ἐφετμὴν
θεσπεσίην μέλεοι γλυκερῆς τ' αἰῶνος ἄμερθεν,
ὧν τε καλῶν εἶχον πρότερον γύμνωθεν ἁπάντων.
καὶ νέφος ἀμφιέσαντο μέλαν πραπίδεσσι κελαιναῖς,
φημὶ δ' ἀϊδρείην ὀλεσήνορα, καὶ πάχος αἰνόν,
καὶ πλῆθεν παθέεσσι, καὶ ὑλοτραφέεσσιν ἐρωαῖς
σχέτλιοι, οὔτε δίκας εὖ εἰδότες, οὔτε θέμιστας,
νούσοις τ' ἐξετάκησαν ἀτειρέσι, καὶ μελεδώναις
αὐτοί τ', ἠδ' αὐτῶν γενεὴ μετόπισθεν ἅπασα.
δαίμοσί τ' ἀρήσαντο καὶ εἰδώλοισιν ἀφαυροῖς,
βοῦς ἱερεύεσκον καὶ ὄϊς, καὶ πίονας αἶγας
νερτερίοις φθιμένοις, τοὶ τάρταρον αἰνὸν ἔχουσιν,
καί τε θεοὺς σέπτοις κάλεον, σφετέρας τε θεαίνας,
ἑρμείην, ἀπόλλωνα, κελαινεφέα κρονίωνα,
ἠδὲ διώνυσον, καὶ ἄρτεμιν ἰοχέαιραν,
ἥρην τε λητώ τε, τεράστιά τ' ἄλλα τοιαῦτα.
τόσσα δὲ λυγρὰ βροτῶν γενεὴ πάθε, μυρία τ' ἄλλα
ἐκ προγόνων κακίης, καὶ νωχελίης σφέων αὐτῶν.
καὶ τάχ' ὅλον φῦλον μερόπων προθέλυμνον ὄλωλεν,
καὶ κρυεροῖο πύλας κατεβήσατο εἰς ἀΐδαο,
εἰ μὴ ῥαιομένοις τόσσοις κήδεσσι καὶ ἄταις
πρόχνυ πατὴρ ὕπατος θνητοὺς ᾤκτειρε φιλόφρων,
πέμψε τ' ἔπ' ἄτρυτον πόνον ἄσμενος υἱὸν ἀγαυόν,
οἱ αὐτοῦ ζαθέας τε φρένας, καὶ εἶδος ὁμοῖον,
τηλυγέτην, ἀγαπητόν, ἀγακλέϊ δέξιον αἰεὶ
πατρὶ παρεδρεύοντα, φιλούμενον ἔξοχα πάντων,
ἀνθρώπων ῥῦσθαι μογερῶν γενεήν τε τόκον τε,
οὐρανόθεν καταβάντα πατρὸς παρὰ εἷο θρόνοιο.
πῶς δὲ πατὴρ ἐφέηκεν ἑὸν γόνον ἱμερόεντα,
πρωτόγονόν τε λόγον γαίης περὶ οὖδας ἐρεμνόν;

οἷά περ



οἷά περ ἠέλιος σφετέρην ἀκτῖνα φαεινήν.
καί περ γὰρ φαέθων αὐγὴν ἔθεν ἄμμιν ἰάλλει,
οὐ λείπει ποτὲ τοῦτον ἐν αὐτοῦ εὖ ἀραρυῖα,
καὶ στιβαρῶς χειμφθεῖσα διαμπερές, οἷά τ' ἐν ἀρχῇ,
ἣν δέ τις αἰδοίη κούρη σολύμων κατὰ χώρην
δὴ τότ' ἐπίκλησιν μαριὰμ γεγαυῖα φαεινῆς
ἐκ ῥίζης βασιλέων τε, καὶ εὐαγέων προφητέων,
παντοίαις χαρίτεσσι κεκασμένη, ἀγλαΐαις τε,
οὐδέ τις ἦν αὐτῇ δέμας εἰκέλη, οὐδὲ νόημα,
οὐδὲ θεουδείην, οὐδ' ἠνορέην θεόμοιρον
τάων, ἃς θνηταὶ θνητοῖς τέκον εὐνηθεῖσαι.
λαοῦ δ' ἄγνωστος μίμνεν ἔσω, οὐ γὰρ ἑορταῖς
πώποτε δημοτελέσσιν ἐνωμίλησε λαθοῦσα,
οὐδὲ χοροῖς, μούνῳ δὲ θεῷ, θείης τε φιλήδει
δῖα κόρη μελέτῃσι καὶ ἠγαθέῃσι μερίμναις,
ἐξ ὅτου ἀθανάτων ἀνέθη τριέτηρος ἄνακτι,
ἄνθεμα θυμῆρες, χαρίτων θάλος, ἄνθος ἄμωμον.
τὴν δὲ γὰρ ἐξ εὐχῆς ἄγονοι θέσαντο τοκῆες.
τοῖο δ' ἕκητι θεῷ καί μιν παρέδωκαν ἑκόντες.
ταύτην δ' ἐξ ἄλλων θεὸς ἄμβροτος εἵλετο κούρην,
υἱέος ὥστε γενέσθαι ἀγακλέος εἷο τεκοῦσα,
τὸν θέλεν ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε
ἄνθρωπον γεγαῶτα μόρου, κηρός τε μελαίνης,
καὶ θανάτοιο πυλῶν θανάτῳ, καὶ ἀεικεῖ πότμῳ.
πρὸς δ' ἄρα τὸν γαβριὴλ κρατὺν ἀγγελτῆρα προῆκεν,
ὥστε πύθοιτο κόρην, αἴ κεν βούλοιτο γενέσθαι
αὐτὴ ἡ θεόπαις καὶ παρθένος οὖσά περ ἀδμής,
ἄχραντον μεθέπουσα μίτρην καὶ ἀκήρατον αἰδῶς.
ἡ δ' ἐπένευσε θεῷ, καὶ ἐγείνατο χριστὸν ἄνακτα
ἐκ πνοιῆς ζαθέης θεὸν ἄμβροτον, ἠδὲ καὶ ἄνδρα



κῦμα

κῦμα θεόγνητον καὶ ὑπέρφυές. ἦλθε δ' ὑπ' αἴθρην
ἐξ ἱερῶν σπλάγχνων ἰδίῳ περὶ μηνὶ θεόφρων,
κάλλεος ἀστράπτων χάρισι βροτέης περὶ φύτλης,
θνητός τε φυὴν γεραρὴν καὶ ὑπέρφατον εἶδος.
καὶ τότε δ' αἰθερίων πεπλεγμένος αἰγλήεντων
στέψε δίκης στέφανος μέγαν ἥλιον. ἶρις ἔρεψεν
τοῦτον ἑαῖς πτερύγεσσι πολύχροος ἀστερόεσσιν,
ἀμφιέλιξέ θ' ἅλως τόνδ' ἀμφιχυθεῖσα διαυγής.
φημὶ δὲ παρθενικὴν περικαλλέα χριστὸν ἄνακτα
γείνασθαι, καὶ χερσὶ περιστείλασθαι ἀχράντῳ.
ταῦτα δὲ πάντ' ἐγένοντο περὶ χριστοῖο γενέθλην
σήματα, ἄλλά τε πολλά, τὰ πέφραδον ἵστορες ἄνδρες.
τίκτε δ' ἐπὶ ξείνης πατρὸς τὸ μέλημα πολίχνης
ἀθανάτου, σωτῆρα βροτῶν, περικαλλέα παῖδα
ἀμφὶ κάπῃ σταθμοῦ, οὗ καλλύεσκεν ἅμ' ἀνδρὶ,
ὅντιν' ἔδωκεν ἑοῖ θεὸς αἰδόος οὖρον ἀμεμφῆ,
ἠδὲ κασίγνητον, καὶ ὄπατρον νύμφιον ἁγνόν.
ἐξ ἰδίης γὰρ ἀνῆλθον, ἐπεὶ κατ' ἄναξ λέγε πάντας
αὔγουστος σκηπτοῦχος ὅλης χθονός. ἡ γὰρ ἄνωθεν
βηθλεὲμ ἦν προγόνων σφετέρων πατρὶς, ἥνπερ ἀνεῖρ:
ἔνθ' ἄρα τίκτεν ἑὸν θάλος ἀγλαὸν, οὐδὲ πέπαρτο (πον.
ὀξείαις ὀδύναισιν, ὁμῶς ἄλλοισι γυναίοις,
αἳ θνηταὶ τίκτουσι βρέφη θνητοῖσι μιγεῖσαι,
ἀλλά μιν οὐ τίκτουσα καὶ οὐκ ἤλγησε φέρουσα.
πᾶσα δὲ γεινομένου μαλακὸν μείδησε περὶ χθών,
κόσμος ἐγήθησε χαροπῷ περὶ φέγγεϊ λάμπων,
ἁγνοτόκος δὲ λεχὼ φάτνῃ πάρα παῖδα γεγῶτα
νάματι λοῦσε καλῷ, καὶ σπείρῳ σπάρξε νιφαργεῖ,
ἐνδυκέως τ' ἀτίταλε, καὶ ἐξέθρεψε νεογνόν,
καὶ πόρσηνε γάλακτι, καὶ οἷς κτεάτεσσι πενιχρὴ

χερσὶν



χερσὶν ἑαῖς κούρη φιλέουσά τε κηδομένη τε,
ἠδὲ σεβιζομένη, ὡσεὶ θεοῦ υἱὸν ἐόντα.
αὐτὰρ ἐπεὶ ῥ' ἥβης πολυήρατον ἵκετο μέτρον,
ἤρξατο ποιῆσαι μεγαλαυχέα θέσκελά τ' ἔργα,
καὶ φάμεν ὑψίστοιο θεοῦ φίλος ἔμμεναι υἱὸς
ἀμφαδὸν ἐγχώροισι, καὶ ὀθνείοισι βροτοῖσιν,
ἀτρεκὲς ὥσπερ ἔην, γεγαὼς προπάροιθεν ἁπάντων.
οὐρανοῦ ἐκπρομολεῖν τε πατρὸς παρὰ μητιέταο,
ὡς ζωῆς πετάσῃ πύλας στιβαρῶς ἀραρήας,
καὶ φέγγος κομίσῃ φερέσβιον ὠκυμόροισιν
ἀνθρώποις θανάτοιο περὶ σπέος ἠλάσκουσιν.
τὴν δὲ διδασκαλίην θείοις ἔργοισιν ἔρεισεν,
πάντες ὅπως γνοῖεν μιν ἀληθέα πάντ' ἀγορεύειν.
δὴ τότε γὰρ τυφλοὶ λεύσσον φάος ἀγλαὸν ἠοῦς,
ὀρθώθεν χωλοῖσι πόδες, κνῆμαί τε βαρεῖαι,
καὶ κωφοὶ φθέγγοντο νέον θεὸν αὐδήεντες.
καὶ φθίμενοι ἀνέγερθεν, ἀναιδέες ἐξελάοντο
δαίμονες ἐκ γυίων, καὶ ψυχέων τειρομενάων,
οὐκ ὀλίγοι δ' ἐκάθαρθεν ἐφηλίδος ἄνδρες ἀνιγρῆς,
καὶ λεύκης, καὶ νούσου ἀταρτηρῆς ἐλέφαντος.
πολλοὶ δ' αὖτ' ἐγένοντο ῥοπῆς ὕπο ῥεῖα σεληνῆς
πίπτοντες σμυγερῶς, πολλοὶ δ' ἐπιλήψιος αἰνῆς,
μυδαλέου θ' ὑδέροιο, καὶ ἄλλης νούσου ἁπάσης,
καὶ ζαμενεῖς σίγησαν ὁμοκληθέντες ἀῆται,
καὶ λίμνη στονόεσσα ποσὶ πόρε νῶτα πατεῖσθαι.
ταῦτα δὲ πάντα μόνῃ χριστὸς τελέεσκεν ἀνωγῇ,
ἄλλά τε πλεῖστα, τάπερ φθόνον ἄγριον ὦρσεν ἀπίστοις
ἑβραίοισι πρόμοισιν, οἳ ἀβραὰμ ἐξεγένοντο,
ἀλλ' οὐ μιμήσαντο πατράρχεω πίστιν ἀμεμφῆ,
ὃς χριστὸν ποθέεσκε βροτῶν σωτῆρα θεᾶσθαι,

 καὶ

καὶ τυχεῖν χάριτος τὴν δωσέμεν αὐτὸν ἐώλπει.
ἀντ' εὐεργεσιῶν οὖν τοιῶνδ' οἵδε μανέντες
λευγαλέῃ λύσσῃ, πραπίδας ἣ δῦσεν ἑκάστου,
τὸν χριστὸν μενέαινον ὀλέειν, καὶ πεφνέμεν ἁγνὸν
μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος,
σταυρῷ ἐν ὀκρυόεντι μετάρσιον, οὐδὲ μενοινὴν
τὴν δ' ἀνύειν ἐδύναντο μιαιφόνοι, ἱέμενοί περ.
αὐτὰρ ἐπεὶ θέλεν αὐτὸς ὑπὲρ μερόπων θανέεσθαι,
καὶ πέλασεν πατρόθεν θανάτου πεπρωμένον ἦμαρ,
σὺν σφετέροισιν ἑτάροισι τὸ δεύτατον ἤθελε δεῖπνον
τοὺς πασῶν φυλέων ἐξείλετο πρῶτον ἄωτον,
δειπνῆσαι, καὶ σῶμα δόμεν σφίσιν εἰλαπινάζειν·
ὡς βασιλῆος ἑοῦ μνησαίατο ἤματα πάντα,
νηπενθές τ' ἄλκαρ παθέων, θεῖόν τε λαβόντες,
τέκμαρ ἀειμνήστου φιλίης, καὶ φίλτρον ἀμεμφὲς,
καὶ λαθικηδὲς ἄκος, μυστήριον ἄμμι θεουργοῦ,
σύσσωμόν τε θεοῦ ποιέον βροτὸν, ἠδὲ σύναιμον.
τῶν δ' ἄρα κεκλιμένων ἑτάρων πέρι, δαινυμένων τε,
ἄρτον ἄναξ μάρψας, διχῶν τ' εἰς θρύπτακα λεπτὰ
φωτὶ σὺν εὐλογίῃ διεδάσσατο μοῖραν ἑκάστῳ,
ἐξ ἀκόλων γεγαῶτα θεόδμητον κρέας ἄφνω.
καὶ χείρεσσιν ἑλὼν σεμναῖς κρατῆρα μέγιστον
καχλάζοντα δρόσῳ, γόνῳ ἀμπέλου ἄφθιτος ἱρεὺς
εὐλογέων πόρσηνεν ἑοῖς ἁγίοις ὀαρισταῖς,
ζωαρκὲς νέκταρ, πόμ' ἀοίδιμον ἀγλαόκαρπον.
πάνθειόν τε νέμων τελετὴν ὕπατος τελετάρχης,
ἄλλοις δὴ μύστας δέδαεν τοιαῦτά γε ῥέζειν,
εὐιερόν τε τράπεζαν ἄγειν, μυστήριά θ' ἁγνὰ
εἰς μνήμην θανάτοιο, τὸν ἡμέων εἵνεκ' ἀνέτλη
μυστάων ὄχ' ἄριστος, ἵν' αὐτὸν πάντοτ' ἔχοιμεν,

καίπερ



καίπερ ἐς οὐρανὸν εὐρὺν ὑπότροπος ἔνθεν ἵκανεν.
ποσσάκι γὰρ ταύτην τελετὴν ποιεύμεθα μύσται,
τοσσάκι πύρνα δέμας, μέθυ γίνεται εἶαρ ἐρυθρὸν,
ἔμψυχον σωτῆρος, ἵνα ζώωμεν ἐν αὐτῷ,
οἵκεν ἀτασθαλίαις τεθνήκαμεν ἡμετέρῃσιν.
ἀτρεκὲς ἐξεφάνη τότ' ἔρως, στοργή τε θεοῖο,
ἠδὲ φιλοφροσύνη μερόπων περὶ φῦλον ἀλιτρὸν,
ὥστε θανεῖν οὐ μοῦνον ὑπὲρ θνητῶν πολυμόχθων
ἤθελεν οἷά περ ἀμνὸς ἀμώμητος σφαγιασθεὶς,
ἀλλ' ἔτι καὶ θοίνην θ' ἡμέων, δαίτην τε γενέσθαι,
καὶ πόσιν, ἀνδρομέων γανόων ἀκαχημένον ἦτορ
ἀμφαδέων παθέεσσιν ἀλιτροσύναις τ' ἀδινῇσιν.
τὴν δέ που εἰλαπίνην ζωθάλμιον ἄμμε πάσασθαι,
καὶ ποτὸν ὀτρυνέει τόν δ' ἄσπονον ἐγκεράσαντας
θωρηχθῆμεν ἄναξ σφετέροις θοινήτορας ἄδδην,
νᾶμα τὸ νεκτάρεον βιοτήσιον ἄμμι προπίνων
συσσίτοισιν ἑοῖς, καὶ ὁμόφροσι δαιτυμόνεσσιν.
δεῦτε φίλοι τὸν δόρπον ἐμὸν μίγινδε ἕλεσθε.
πίνετε νέκταρ ἐρυθρὸν, ὃ προσφέρων ὕμμιν ὀπάζω,
καὶ μεθύοιτε γάνος φιλοτήσιον ἐξαρύοντες.
αὐτὰρ ἐπεὶ ταύτην τελετὴν ἀγαπήνορι θυμῷ
παρθενικῆς ἀδέτοιο παῖς διέταξεν Ἰησοῦς,
χεῖρας ἐς ἀντιπάλων αὐτάγρετος ἤλυθε φονιοὺς,
οἷά περ ἀμνὸς ἄμωμος ἐπ' ἀνέρας ἀρταμέοντας.
καὶ τότε τόνδε πιέζον, ἔδησαν δ' ἀργαλέοισιν
ἐν δεσμοῖς ἐπίχαρμα τετυγμένον ἀγριοθύμοις
ἀνδράσιν, οἱ σιάλοις, καὶ πτύσμασι θεῖα πρόσωπα
ἤσχυναν βασιλῆος ἀμύμονος, ἰοβόλοις τε
βάλλον ἐπεσβολίαισί μιν αὐτὸν πολλὰ χέαντες
ἠγαθέῃ κεφαλῇ κάκ' ὀνείδεα. πὺξ δ' ἐπὶ κόρσης

ἤλα-

ἤλασαν ἀχράντου, κόρσῃ πτύλοις τ᾽ ἀνέμαξαν
χερσὶ παλαμναίῃσι ῥαπίσματα, ῥιγεδανῆς τε
οἰστρομανεῖς ῥιπαῖσι παρήϊα καλὰ δαΐξαν
πυκνὸν ἀράσσοντες δάϊοι καὶ ἀνάρσιοι ἄνδρες.
ἵστωρ δ᾽ αὖτ᾽ ἐπὶ τοῖσι λαβὼν ἀθεμίστια εἰδὼς
ἀρνειὸν χαρίεντ᾽ ἀπὸ μὲν φίλα εἵματα δύσας,
χλαῖναν τ᾽ ἠδὲ χιτῶνα, τάτ᾽ αἰδῶ ἀμφεκάλυπτεν·
δῆσεν ἀμειλίκτως μεγάροιο πρὸς κίονι μακρῷ,
φρικαλέοις τε λύγοισι καὶ ἀργαλέῃσιν ἱμάσθλαις
ὠμηστὴς ἐχάραξεν ἅπαν δέμας ἁβρὸν ἄνακτος.
αἵματι φοινίχθη τὸ μετάφρενον αἰνὰ ῥαχισθὲν,
καὶ μηροὶ, λαγόνες τε ῥοδόχροες, ἠδὲ τράχηλος,
καὶ κνῆμαι καὶ στῆθος ὅλον καὶ πήχεε καλώ.
οὐδ᾽ ἀκαρῆ τοῦ χρωτὸς ἔην σόον, ἀλλὰ δαΐχθη
ῥάβδοισι σμυγερῆσιν ἅπαν μέλος. οἱ δὲ βέβηλοι
δρηστῆρες μιαροῖο δικασπόλου ὀξυόεσσιν
ῥάμνοισι στεφάνωμα καὶ ὀκρυόεσσιν ἀχέρδοις
πλέξαντες κεφαλῆφι θεηγενέος βασιλῆος
θῆκαν ἐφ᾽ ἱμερτῇ, καὶ χλαῖναν φοινικόεσσαν
αὐτὸν ἀνεχλαίνωσαν, ἀνασσέμεν οἷα θέλοντα
ἀνδράσι ψωλοῖσιν, ὃς οὐρανοῦ ἐμβασιλεύει,
οὐρανοῦ ἀστερόεντι καὶ οὐρανίοισι μελάθροις.
οὐδέτι λυσσώδης καὶ ἀνάρσιος ἑσμὸς ἀτηρῆς
λῆξεν ἐπηρείης, καὶ λώβης, πρίνπερ ὁ κραντὼρ
νηλὴς οὔτε δίκας εὖ εἰδὼς, οὔτε θέμιστας
ἐν σταυρῷ κρυόεντι μετήορον ἁγνὸν ἰησοῦν
κρῆνε θανεῖν τριπόθητον ἀπῃωρημένον ὀρθόν.
καὶ τότε καγχαλόων ἀμνὸν λάβεν ὄχλος ἀλάστωρ
ἀργινόεντα θεοῖο, καὶ εἰς πάγον ἄστεος ἐγγὺς,
ὥστε κυνῶν ὀρυμαγδὸς ἀπήλασεν ὑλακομώρων,

σταυρὸν



σταυρὸν ἐπωμάδιον νίκης ἅπερ ὅπλον ἔχοντα.
ἦχί μιν ἐξετάνυσσεν ἐπ᾽ ἰκρίῳ ἀλγινόεντι
παγχάλκοις ἥλοισι χέρας μὲν ὕπερθε κεραίῳ,
αὐτὰρ ἔνερθε πόδας πήξας χαλκήρεσι κέντροις.
ξὺν δὲ οἱ ἐν σκολόπεσσι δύω ληΐστορε φῶτε
δουρατέοις ἐνέπηχθεν ἑπηόρω ἔνθα καὶ ἔνθα,
ὥσκεν ἐπίρρητος πᾶσι, μυσαρός τε φανείη
ὁ τριφίλητος ἄναξ καὶ σωτὴρ πάγκλυτος ἡμέων
κείμενος ἐν μέσσῳ φηλητέων, ὡς πρόμος αὐτῶν.
καὶ τότε τωθάζεσκε βέβηλος χριστὸν ὅμιλος
δείν᾽ ἐπιμυχθίζων, καὶ δέννοις ἰοβόλοισιν
ἄκριτα πολλὰ φλύων καὶ ἀεικέα ψευδέϊ γλώσσῃ.
αὐτὰρ ὅγ᾽ ὑβριστέων τῶν δ᾽ οὐκ ἐμπάζετο θυμῷ,
οὐδὲ καθήπτοντο φρενὸς αὐτοῦ πικραὶ ἐνιπαὶ
ἀρνυμένοιο βροτῶν μογερὸν γένος, αὐτὰρ ἐπεὶ δὴ
ἦχι διωλένιος ξηχεῖ ἐπὶ δουρὶ κρεμάσθη
χείρεσι πεπταμέναις, ἵνα πηχύνειεν ἀλιτροὺς,
αἰώρημ᾽ οἰκτρὸν πεπεδημένος ἀργαλέῃσιν
γυῖα πέδαις, ἀδινῇ τερσαίνετο χείλεα δίψῃ,
οἷάπερ ἀγχιθανὴς θανάτου κρατερ᾽ ἄλγεα πάσχων,
καὶ χροὸς ἀζαλέοιο χέας τὸ θεόρρυτον αἷμα,
ῥύσιον ἀμπλακιῶν ἀκεσίμβροτον ἡμετεράων.
εἶπε δὲ διψώω. δίψει διόλωλεν ἐμὸν κῆρ.
τίς δ᾽ ἀκέοι λαιμοῦ πολυκαγκέα δίψαν ἐμοῖο;
τοῦτο δ᾽ ἄρ᾽ ὠμόφρων ὡς ἄϊεν ὑβριστάων
ὄχλος, ὃς ἔνθα καὶ ἔνθα περισταδὸν ἀμφέχυτ᾽ αὐτοῦ
θυμοδακέσσι κέαρ, καὶ κερτομίοισιν ἐνίπτων,
ἐκφαμένοιο, χολῇ κεκραμένον ὄξος ὄρεξεν
σπόγγον ἐπεμβάψας, πιέειν δ᾽ οὐκ ἤθελε πῶμα
διψάδος ὀξάλμης, τὰ δὲ χείλεα μοῦν᾽ ἐδίηνεν,

οὐ φα-

οὐ φάρυγ' αὐαλέην. ἄμοτον πόμα σῶτερ ἀφύσσεις
κεῖνο τό περ ποτόν δ' ἐπόθεις, καὶ φίτυς ὅ πασεν
σοὶ πίσας ὕψιστος, ὅπως τὸ πάροιθε μαθητῇ
ἔννεπες, ἔντε βάθει πόσιος μενοεικέος ἐστὶ,
καὶ φῂς καυθῆναι σέο χείλεα δίψει λυγρῷ.
τοῦτ' ἄρα δίψος ἔην μαλεροῦ ἀκόρητον ἰησοῦ,
ὅττι παθεῖν ἔτι βαιὰ δόκει, καὶ πλεῦνα θέλεσκεν
τλῆναι ὑπὲρ θνητῶν ἀγάπης ὑπὸ τινθαλέοιο,
καὶ θερμοῦ ζήλοιο. τότ' ὠργυγωμένος ἐστὴν
ὡς ἴδεν ἄγχι μόρον, τὸν δὴ ποθέεσκεν ἀπ' ἀρχῆς
ἑσσάμενος, ἀνθρώπων σωτήριον, ἠδ' ἐριούνην,
χερσὶ πατρὸς θυμὸν, καὶ ἑὴν παρακάτθετ' ἀϋτμήν.
μακρὰ δ' ἐπορθιάσας, ὅσον βαθὺς ἤρυγε λαιμὸς,
λοίσθιον ἐκ στηθέων βριαρὴν ἀνενείκατο φωνὴν
πᾶσι διωλύγιον, ἅτ' ἀεθλοφόρος τις ἀριστεύς.
ὢ πόποι, ἦ νύ ποτ' ἔργον ἀθέσφατον ἐκτετέλεσται,
ἔργον ἀμαιμάκετον, καὶ ὑπέρβιον εἰς τέλος ἦλθεν.
τοῦτο δ' ἄναξ εἰπὼν κεφαλὴν προτέρωσ' ἐπ' οὖδας
ἧκα παρακλίνας, ψυχὴν ἐν χερσὶ τοκῆος
ἐκ γυίων ἀφέηκε φιλήορα φαίδιμος υἱός.
αὐτὰρ ἐπεὶ τέθνηκε, καὶ ἄπνοος αὐτὸς ἔκλυτο,
ἦλθέ τις ὁπλίτης βροτὸς ἄγριος, ἐμπελάσας τε
σβεννυμένοιο ἄνακτος ἐώσατο χάλκεον ἔγχος
εἰς πλευρὴν χαρίεσσαν· ἀπέρρεε δ' ἄφθιτον ὕδωρ,
αἷμά τε νεκτάρεον πλευρῆς χαροποῖο νυγείσης.
ταύτην δ' ὠτειλὴν ὑποκάρδιον εἵλετο σωτὴρ
κλεινὸς ἔχειν, στέρνῳ ἵνα κεν δείξειεν ἑὸν κῆρ
πεπταμένοιο βροτοῖσι κεκασμένον ἁγνῷ ἔρωτι,
καὶ πέλαγος στοργῆς πολυβενθέος εὐμενίης τε.
οὐδέ τι σιγήσω τὰ τέρατα, ὅσσά περ αὐτοῦ





πάσχοντος συνέβη πολυθαμβέα, ἠδὲ θανόντος.
δὴ τότε γὰρ μέσσῳ γένετ' ἤματι νὺξ ἐρεβεννή.
ἠέλιος γὰρ ἑὴν χαροπὴν ἀπέκρυψεν ὀπωπήν.
οὐδὲ μὲν οὐδ' ἐτάλασσεν ἀποθνήσκοντα θεᾶσθαι
οἰκτίστῳ θανάτῳ θεὸν ἄμβροτον, ὅς μιν ἔτευξεν
φαιδραῖς ἀκτίνεσσι διαυγέα, ἐκ δὲ κεάσθη
εὐρὺ πέτασμα ῥαγὲν νηοῦ τότε θεσπεσίοιο.
γαῖά τε παλλομένη σείσθη, καὶ λᾶες ἀτειρεῖς,
στυφλά τε πετράων, ὀρέων ῥίατ' ἐξεάγησαν
ὑλήεντα διαπρὸ, καὶ αἰπήεντες ἔναυλοι,
ὑψηλοί σκόπελοί τε παρ' ἠιόνεσσι θαλάσσης.
μνήματ' ἀνοίγησαν, φθιμένων δέ τε σώματα πολλὰ
ἐκ τύμβων ἀνόρουσαν ἀνεγρομένων μετὰ πότμον.
τοῖο μόρον κλαῦσαν κρημνοὶ ῥωγμοῖσι χανοῦσιν,
ὄχθοι ἀπορρῶγες, βῆσσαι, καὶ πρηόνες ἄκροι.
ἠέλιός τ' ἀκάμας δνοφερὴν ἐπιειμένος ἀχλὺν,
γῆ τε κραδαινομένη ταναὴ σεισμοῖσι πελώροις.
ἥ τε καὶ ἄστεα πολλὰ κατήριπε τειχιόεντα,
μυριάδας τε βροτῶν πολλὰς ὑπ' ἐρείπια κρύψεν.
οὐδὲ κατεκλάσθη θνητῶν τότε χάλκεον ἦτορ
ἀΐσυλα πρησσόντων, λευσσόντων τ' ἔργ' ἀΐδηλα,
ἀθανάτων βασιλῆα θανεῖν ὀδύνῃσι βαρείαις.
τοῦτον ἐπεστονάχιζον ἐρημαίαις κατὰ νήσοις
ἄγγελοι αἰγλήεντες ἐπὶ σπιλάδεσσι θαλάσσης
πενθαλέοισι γόοισιν, ἐπεὶ λίπεν ἡλίου αὐγάς.
οἷα γὰρ ἐκγεγαῶτος ἐπευφήμησαν ἀοιδαῖς
εὐκελάδοις, βαθὺ κῦδος ἐν ὑψηλοῖσι μελάθροις
ὑψιμέδοντι θεῷ, καὶ ἐπὶ χθονὶ βωτιανείρῃ
εἰρήνη φιλέορτος ἐν ἀνθρώποισι τέτυκται.
τὼς ὀλόλυξεν ἅπας στυγνὸς χορὸς οὐρανιώνων

αἰὲν ὀλοφυρόμενος ὅτ' ἀεικέα πότμον ἐπέσπεν
αὐτὸς ἄναξ. Θαμοῦς φαερός μοι μάρτυς ἀληθὴς
ὠκυάλοιο νεὼς ἰθυντὴρ, ὃς τότ' ἀγινέων
φορτίδ' ἐς αὐσονίην ξυνὸν χρήμασιν ἐμπορικοῖσιν,
παντοδαποῖς τε βροτοῖς, ὅτε κύριος αὐτὸς ἀπέσβη
σταυρῷ ἐν ἀργαλέῳ, ἀπὸ παξῶν ἄιε φωνὴν
δειελινός σφε καλοῦσαν ἀπαὶ νησῖδος ἐρήμης.
τρὶς δ' ἐνομακλήδην Θαμοῦν φωνεῦντι, καὶ αὐτὸς
ἀντεβόησε τορῶς τί νυ δὴ χρέος αὐτὸν ἱκάνει.
αὐτὰρ ὅγ' ἠμείφθη, καὶ ἀντεφθέγξατο τοῖα.
τύνη ὅταν προγενοίοιο πλέων περὶ τραχὺ παλῶδες,
ὄρθιον ἄγγελον βοόων ὅτι μηλοβοτήρων
Πὰν μέγας ἀρχηγὸς νῦν δὴ τέθνηκε ταλαίφρων.
τοῦτο δ' ἀκούσαντας θάμβος μέγα εἷλεν ἕκαστον,
ἔσαν δ' ἐκπλαγέντες ὅσοι τότε ναυσιφόρητοι.
καὶ πρῆξαι τὸ κελευσθὲν ἔγνων, εἰ πνεῦμά κε λήξῃ
εἰς τόπον ἐρχομένοισι τὸν ἔφρασε θέσφατος ὄσσα.
αὐτὰρ ἐπεὶ τὸ παλῶδες ἐπήϊον, αἶψα γαλήνη
γίνεται ἀμπέλαγος, καὶ νηνεμίη περὶ χῶρον.
τοῦτο δ' ἰδὼν Θαμοῦς τόπερ ἄιεν ἐνθάδ' ἀνεῖπεν.
ἔκλαγέτ' ἐκ πρύμνης, ὅτι κάτθανεν ἄρτι μέγας Πάν.
ῥῆμα δ' ἀνείποντος τόδ', ἄφαρ στόνος ὄρνυτ' ἀεικὴς,
καὶ τάφος ἔκπαγλος πολλῶν ἅτε θαυμαζόντων
μιγνύμενος κλαυθμοῖς καὶ ὀδύρμασι δακρυόεσσιν.
οὗτος ὁ τεθνειὼς Πὰν ἔπλετο χριστὸς ἀπ' ἀρχῆς
ὃς κόσμον ποίησε καὶ ἐστήριξε τὸ σύμπαν,
οὐρανὸν ἠδὲ θάλασσαν ἰδὲ χθόνα καὶ πυρὸς αὐγάς.
ποίησέ τε γένος μερόπων, καὶ ζῶα πρόπαντα,
οἷα θεὸς φύσιός τε πατὴρ ζωῆς τε χορηγὸς
κλεινός, ὃ τοῖς ἄλλοις νομέας, λαῶν τε δυνάστας





στῆσεν ἄκρος ποιμὴν, καὶ μὰν σφέας ἠνιοχεύει.
τὸν Διὸς ἐκ νύμφης καλλιστοῖς φασὶ γενέσθαι,
φημὶ δὲ καλλίστης μαρίης, πατρός τε θεοῖο.
τοῦτον ἐρημαίαις μάκαρες σπιλάδεσσιν ἔκλαυσαν
πότμον ἀλυσκάζοντες ἐνωπαδὶς οἰκτρὸν ἄνακτος
εἰσιδέειν σφετέρου, καὶ ὀνείδεα τόσσα θεᾶσθαι.
οὐδὲ γὰρ αἰκίζεσθαι ὑπερφιάλων φέρον ἀνδρῶν
χερσὶ παλαμναίαις καὶ τεθνάμεν αὐτὸν ὁρᾶσθαι.
τοῦτο πικρὸν πάθος εἶδε νόῳ θεομοιρέϊ πρόσθεν
υἱὸς ἄμως, καὶ παντὶ θεόπροπος ἔκλαγε κόσμῳ,
ὥστε διαπρύσιος σάλπιγξ κατὰ γῆν τε καὶ ἅλμην
ἠπύουσα τορῶς, καὶ κηρύσσουσα τὸ μέλλον
χρῆμα βροτοῖσιν ἐπαλθὲς, ἀλεξίκακόν τε πρόπασιν.
φησὶ δ' ἀνὴρ ὅσιος. τίς πιστεύσειεν ἀκουῇ
ἡμετέρῃ, ζάθεός τε θεοῦ τίνι ὤφθη ἀγοστός;
οἷα θάλος παῖς ἀνθήσει κατεναντίον αὐτοῦ,
οἷά τε γεναίῃ χέρσῳ πολυκαγχέϊ ῥίζα.
οὐδ' ἔτι ἦν αὐτῷ κῦδος περικαλλέος ἥβης,
οἷα πρὶν, οὐδὲ τὸ κάλλος ἐπάνθεεν, ὡς τὸ πάροσπερ
ἀγλαὸν ἐν μελέεσσιν, ὀπώπαμεν αὐτὸν ἄτιμον,
καὶ ψαφαρὸν παρὰ πάντας ἐπιχθονίους γεγαῶτα,
ἀνέρα δύστηνον, ταλαπείριον, οἰκτρ' ὀδυνῶντα,
καρφόμενον χρόα καλὸν, ἀποστρέψαντα πρόσωπον
ἱμερόεν, πάσῃσι πάρος χαρίτεσσι τεθηλός.
τῷ ῥα δύαις τόσσαις ἀρήμενον, ἠδ' ὀδύναισιν,
οὐκ αὐτὸν θεόπεμπτον ἐόλπαμεν ἔμμεν ἄνακτα,
ἀλλὰ βροτὸν κακοεργὸν ἀραῖς βεβαρηότα δειναῖς.
ἦρ' ἐτεὸν κῆρας θ' ἡμῶν, καὶ κήδε' ἀνέτλη.
ἡμεῖς δ' ὡς λεπιδωτὸν ἀταρτηρῇ ἐλέφαντος
λύμῃ, καὶ θεόπληκτον ἐδόξαμεν ἔμμεναι ἄνδρα.

αὐτὰρ ὅγ' ἡμετέρας δι' ὑπερβασίας ἀλεγεινὰς
οὐτήθη, θραύσθη δὲ βροτῶν διὰ σχέτλια ἔργα.
μείλιον εἰρήνης θ' ἡμῶν, παίδευμάτ' ἐπ' αὐτόν.
τοῦ δ' ἄκος σμώδιγξιν ἐπ' οὐτειλαῖς γένεθ' ἡμέων.
οἷα βαθύτειχα μῆλα πλανώμενοι ἦμεν ἕκαστοι,
πᾶς τις ἀνὴρ σφετέρην κατ' ἀμουσίπορον τρίβον εἷρπεν
δυσνομίην δὲ θεὸς πάντων ἐπεφόρτισεν αὐτῷ.
αὐτὸς ἐτρυχώθη ὅτι βούλετο, μήδ' ἑὸ χείλη
πάγχυ διῆρε, τρόπον προβάτου, τόπερ ἄρταμος ἀνὴρ
χερνίπτων ἔσφαξε, δίκην τε νιφαργέος ἀρνὸς,
τὸν ποιμὴν ἀπάμερσε νάκους, ἀπέκειρέ τ' ἄναυδον.
ἔφρασε θεσπίζων τὰ προφήτης, ἄλλά τε πολλὰ
ἀμφὶ πάθους σωτῆρος ἀειγνήτοιο ἰησοῦ;
θαυμαίνων περὶ κῆρι μόρον στονόεντα δικαίου
οὐρανιδῶν βασιλῆος ἀεικέα τόσσα παθόντος.
οὐδ' ἄρ' ἐπεὶ τέθνηκεν ἀεργηλὸς μένεν ἥρως,
ἀλλὰ τὸ σῶμα λιπὼν ζάθεον νεοτευχέϊ τύμβῳ
εἰς τρία φάεα μοῦνον ἐπήϊεν εἰς ἀχέροντος
δῶμα κελαιναυγὲς γαίων ἄτερ ἀδέματος φρὴν,
καὶ ξυνέαξε θύρας, καὶ ἔθλασεν ἐξ ἀδάμαντος
οὐδὸν ἐληλάμενον, καὶ ὀχήων χαλκὸν ἀτειρῆ,
ῥῆξε δ' ἀπ' ἀρρήκτοις θαιροῖς, καὶ κλεῖθρα βίαια,
αἰνόμορόν τ' οἴκημα, καὶ εὐρόεντ' ἀΐδαο
ἐσυφέλιξε μυχὸν, κενεὼν τὸν φασὶ παλαιοὶ,
κεκλομένων μακάρων, καὶ ὀτραλέων κηρύκων.
ἡμέων αἶψα πύλαι ἀναείρατε δικλίδας αἰνὰς,
αἰανεῖς κατοχῆες ἀνακλίνεσθε πυλάων.
αὐτὸς ὑπερφερέτης μακάρων ταγὸς ἶφι ἀνάσσων
μυριάδεσσιν ἁγναῖς μενεδήϊος ἔρχεται εἴσω,
παντοίῃ βρίθων τ' ἀλκῇ, καὶ ἀγακλέϊ τιμῇ.

εἰσε-



εἰσελάσας δὲ πέλωρ ἑκατοντακάρηνον ἔδησεν
δεινὸν, ὅπερ καλέουσι παλαίφατον ἑρπυστῆρα,
καὶ σύλησε δόμον στυγερὸν θεοῦ ἄλκιμος υἱός,
ἄσπετον ἐξ εἱρκτῆς ψυχέων ἀπὸ λῃΐδ' ἀγαυῶν,
τὰς κατέβροξε δράκων ἐκ κόσμου κ' ἀρχαέος ἀρχῆς,
ἐμπλήσας τίνθον πολυχανδέα αἰὲν ἄατον,
ἄψορρόν τ' ἀνένεικε, καὶ ἤγαγεν ἐξ ἀΐδαο,
δῶκέ τ' ἐλευθερίης σφὶν ἰδέσθαι φαίδιμον αἴγλην.
λυομένης ὄρφνης, καὶ δουλοσύνης μεγαλοίτου.
καὶ μὰν καὶ πομπὸς θιάσοις ἁγίοισιν ἐτύχθη
ἐς φάος ἐρχομένοισι παλιμπετὲς ἀγλαὸν αἴθρης.
ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ' ἠώς,
τοῦτο δὲ λοίσθιον ἦεν ὅτ' ἀνεστάμεν ἤθελεν ἥρως
νόστιμος ἐκ νεκύων κρείσσων θανάτου τε μόρου τε,
ἴφθιμον παλίνορσον ἐς ἤριον ἥλατο πνεῦμα,
καὶ ψυχὴ βασιλῆος ἀμύμονος, ἔνθα περ αὐτοῦ
νεκρὸν ἐταρχύσαντο φίλοι, καὶ πτῶμα θυῶδες,
καὶ τόδ' ἀνεζώγρησε παλίμβιον, ἠδ' ἀνέγειρεν,
ἐκ δὲ θορὼν τύμβοιο πάλιν μερόπεσσι φαάνθη
ἀγλαὸς ἀστράπτων, ἀστὴρ ἅτ' ἑωσφόρος ἤει,
ὃς ζόφον ἐξελάει γαίης καλὸν εἰλυφάζων
νύκτα κατ' ἀγχαυρον ξὺν φαιδραῖς μαρμαρυγαῖσιν
ἀντέλλων ἀρίσημος ἀπ' ὠκεάνοιο ῥοάων.
ἀλλὰ γε μὴν οὐ πᾶσι φαείνετο τῆμος ἐναργής.
οὐδὲ γὰρ ὄχλος ἄπιστος ἐπάξιος ἔσκεν ἰδέσθαι
οὐρανίδην βασιλῆα μεθ' εἵμασι παμφανόωσιν.
ἀλλὰ μόνοις ἐπέτασσεν ὁ μήδεσιν οἷσι μαθηταῖς
ἣν ὄψιν χαρίεσσαν ἐνωπαδὸν εἰσοράασθαι
σφὴν μετ' ἔγερσιν, ὅσοι συνομηρέες αἰὲν ἀπ' ἀρχῆς
αὐτῷ ὁμάρτησαν, καὶ ὁμόφρονες ἦσαν ἑταῖροι

ἐν

ἐν φρεσὶ πευκαλίμαις ἀσεμφέα πίστιν ἔχοντες.
αὐτὰρ ἐπεὶ σάφ' ἔδειξεν ἀνάστασιν ἔμμεν ἀληθῆ
ἤματα τεσσαράκοντα μένων παρὰ οἷσι φίλοισιν,
καί σφιν ἐπισκήπτων τάπερ ἤθελεν ἐκτελέεσθαι.
ἦγεν ζαθόφυτον ποτὶ δειράδα, Βηθανίην τε
ἁγνὸν ὅμιλον ἐόν, καὶ φθέγξατο πᾶσιν ἐναργῶς,
πᾶν κράτος ἠνέχθη, καὶ κοιρανίη κατ' ὄλυμπον,
καὶ κατὰ γαῖαν ἐμοί. νῦν πάντων καρτερός εἰμι
οἷα θεὸς γεγαώς. ὑμεῖς δ' εἰς πείρατα κόσμου
παντὸς ἰόντες ἄφαρ κηρύξατε παντοδαποῖσιν
ἔθνεσι, καὶ λαοῖς εὐαγγέλιον βασιλείης
οὐρανίης, ἐτύμοις χ' ὃς ἐμοῖς ἐπέεσσι πιθήσῃ,
τεγχθείς θ' ὑδάτεσσιν ἁγνοῖς σωθήσεται ἀνήρ.
ὃς δ' αὖ ἐμοῖς τυφλὸς μύθοις τ' ὀάροις τ' ἀπιθήσῃ,
εἰς κρίσιν αὐτίκα τιμάορον ἄθλιος οὗτος,
οἷά τ' ἀνὴρ ἄθεος, καὶ ἐναντίος υἱεῖ θεοῖο,
φέγγος ἀπεχθαίρων, φιλέων τ' ὀλεσήνορ' ὀμίχλην.
ἐσθλὰ δ' ἐπευφημέων ἀγύρει θεοπειθέϊ πάσῃ,
χεῖρας ἀριστοπόνους τ' εἰς αἰθέρα δῖαν ἀνασχὼν,
ἤρξατ' ἀναΐσσειν πρὸς ὀλύμπια δώματα λαμπρὰ
τηλαυγεῖ νεφέλῃ κεκαλυμμένος, ὑψιπέτης ὡς
αἰετὸς οἰωνῶν ἀρχὸς μέγας ἠεροφοίτων,
κεὶς αὐτὸν δ' ἔτι πάντας ἐλίμπανε παπταίνοντας.
αὐτόματοι δὲ πύλαι μύχον οὐρανοῦ εἰσοιχνεῦντι,
ἐκπέρσαντι κράτος θανάτου λοιγῆεν ἄνακτι,
συμπληγάδην δ' ἰάχησαν ἐφύμνιον, οἷά τε βροντὴν
κεῖνο πολυθρύλλητον ἐπουράνιαι στίχες ἁγναὶ
νηρίθμοις στομάτεσσιν. ἄναξ τίς κύδεος οὗτος;
τίς δ' αἴγλης βασιλεὺς ὃ δ' ἔρχεται ὀλβιόμοιρος;
τοῖς δ' ἄρ' ὑποβλήδην ἄλλαι θεοειδέες ἶλαι

αὐτίχ'



αὐτίχ' ὑπήεισαν, σθενέων ὅδε φαίδιμος ἀρχὸς,
κύριος ἀενάων τ' ἀλκέων, κρατέων τε δυνάστης.
τοῖς δ' ἔπ' ἀνάκτορον αἰπὺ πυραυγέος οὐλύμποιο
ὄρθιον ἀντιάχησε καὶ ἄντυγες ἀστεροφεγγεῖς.
ἀγλαΐαις τε δόμος μακάρων πλήμμυρεν ἁπάσαις.
φαιδρότερον τ' ἀπέλαμψε πολὺ πλέον ἄσπετος αἰθήρ.
τοῖο πρὸς εἰσίθμην εἰς οὐρανὸν ἀστερόεντα
οὐράνιαι σάλπιγγες ἐπεκτύπεον μάλα πᾶσαι
φθόγγον ἑορτάσιον, νίκης παιᾶνας ἄδουσαι.
τέκνα θεοῦ τ' ἀλάλαξαν ὑπ' ἀγλαΐαις ἐρατειναῖς.
τίς πρὸς Ἰδουμαίης παραγίνεται ἐνθάδε χώρης,
εἷμα φέρων λύθρῳ πεπαλαγμένον, ὥς τις ἀριστεὺς
ἄλκιμος, ὃς πολλοὺς μελίῃ ἔθεν ἐξενάριξεν;
οὗτος δ' ὡραῖος σφετέρῳ ἐν στέλματι βαίνει
ἀφθονίῃ τε βίης, καὶ ἠνορέης βλεμεαίνων.
τοὺς δ' ἀπαμειβόμενος προσέφη θεοῦ ἄλκιμος υἱός.
εἰμὶ δίκην λαλέων, καὶ ἐπαρκέων πᾶσιν ἀρῆξαι.
ἀλλὰ τί ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν
λῶδος ἔχεις; γλεύκει τι πεφυρμένον εἷμα βροτείῳ
πὰν φορέεις, βοτρύων ἅτ' ἀνὴρ, ῥαγῶν τε πατητής;
ληνὸν πάτησα μόνος, κἠκ λαῶν σύμμαχος οὔτις
ἔσκεν ἐμοὶ πάντων, αἰχμητὴς οὔτις ἄμυνεν.
θυμωθεὶς δ' ἐτράπησα μόνος στρατὸν ἀντιόωντα
ἡμετέρῳ μένεϊ, καὶ σφᾶς ἐπάτησα ζοπώσας.
αἵματ' ἐναιρομένων δηΐων εἰς λαῖφ' ἐπάλτο
πάντα μάλα ψυχὴν οἳ ἐμὴν μενέαινον ὀλέσσαι,
καὶ φόνῳ ἐρράδαται μου ζώματα φοινικόεντι.
ἦμαρ δ' εἰσήκει τίσιος περὶ μοῦ κέαρ ἤδη,
ἡμετέρου δ' ἐπέλασσεν ἔτος λυτήριο θεόρτου.
καὶ τότε δὴ πάπτηνα, καὶ οὐδεὶς ἔπλετ' ἀμύντωρ,

ἐξερέων

ἐξερέων δ' οὐχ εὗρον ἀοσσητῆρα παρόντα.
ἀλλά νυ πῆχυς ἐμὸς στιβαρὸς ἐπιτάρροθος ἔσκεν
μοῦνος ἐμοὶ, ζαμενὴς ζῆλος, καὶ θυμὸς ἀγήνωρ
μοῦνος ἀλέξησε, καὶ δηΐων λοιγὸν ἄλαλκεν.
καὶ τρέπον εἰς αὐτὴν κεφαλὴν πολέμοιο χάλαζαν,
καὶ στρατοῦ ἀντιβίου δύναμιν κατέρειψα χάμαζε.
ἵσκεν ἄναξ, κόλπον τε φίλον φίλου ἵετο πατρὸς,
πρόσθεν ὅθεν καταβὰς ἐπεμαίετο γαῖαν ἐρεμνὴν
τηλυγέτης λόγος υἱὸς, ἵν' ἀνδρῶν φῦλα σαώσῃ.
ὧδε παλαιγενέων προγόνων ἐκάθηρεν ἀεικεῖς
ἀμπλακίας, παντός τε γένους, καὶ δεῖξεν ὀλύμπου
ἀτραπὸν ἰθυπόρον, ἀγορὴν τ' ἐστήσατο θείην,
τὴν δέκατον μετὰ φέγγος ἐπεσκείξατο πνεῦμα
οὐρανόθεν πέμψας ἅγιον ζαθέῳ ἅμα ῥοίζῳ,
καὶ γλώσσαις φλογέοις, ὅθεν ἀλλοθρόοις ἐλάλησαν
πάντες, ὅσοι συνάγερθεν ἀναιθόμενοι διαλέκτοις.
θάμβει σὺν μεγάλῳ πάντων, ὅσοι ἄϊον αὐτούς.
τοῦτο χάρισμα πόρεν θεὸς ἄφθιτος, ὄφρα καὶ ἄλλοι
ἀνέρες ὀθνεῖοί κε πυθοίατο μῦθον ἀληθῆ
ἀϊδίου ζωῆς, εὐαγγελίοιό τε ῥῆμα
αἴσιον, ὥστε φύγοιεν ἀδευκέα κῆρα μέλαιναν,
πάρθοι, καὶ μῆδοι, καὶ παμφύλιοι μενεχάρμαι,
καὶ λίβυες, γαλάται τε, καὶ ἐσθλοὶ αὐσονιῆες,
ἀσσύριοί τε, φρύγες τε, καὶ αὐχήεντες ἴβηρες,
καππαδόκαι τε, καὶ ἄλλοι ὅσοι βόσκουσιν ἄρουραν:
ἀλλὰ σὺ χριστὲ θεὸς, καὶ σωτὴρ ἄμβροτε κόσμου
μυστιπόλοιο σέθεν τόνδ' ὕμνον δέχνυσο πρόφρον,
οἷα μετὰ κομιδήν τε τελεσφορίην τ' ἐρατεινὴν,
εὐώδης καρποῖο θαλύσιον, ἤτιν' ὀπώρην
ἀμφιετῆ πεμφθεῖσαν ἀπ' ἀγροῦ διψάδος αἴης,

οὐ λι-



οὐ λιπαροῖο λίην καὶ πίονος, ἀλλὰ μάλ' αὔης,
στήθεος ἡμετέροιο, σὺ δ' ἄναξ ἵλαος αὐτὸν,
εὐμειδής τε δέχοιο, καὶ ἡμῖν ἐγγυαλίξαις
σὴν χάριν ἀντ' αὐτοῦ μενοεικέα, καὶ σέο λῆξιν.

## ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ ΦΑΡνήσιον Καρδίναλιν ῥωμαῖον τὸν μεγαλοπρεπέστατον, καὶ γενναιότατον.

Εἰδὼς φιληδεῖν σ' οὐ μόνον κομψεύμασιν,
πόνοις τ' ἀοιδῶν, καὶ καλαῖς εὐγλωττίαις,
ἔμπαιον ὄντα πανσόφων μαθημάτων,
ἀλλ' αὖ θεουδείαις πλέον γεγηθότα,
ὥσπερ σαφηνῶς μαρτυρεῖθ' ἱδρύματα
ναῶν μεγίστων παρὰ σέθεν τετυγμένων,
καὶ μὰν καὶ ἄλλα πολυτελῆ δαιδάλματα,
τάπερ ἁγίοις ὀλυμπίοις σύγ' ἄνθεσο.
ἠβουλόμην κράτιστέ σοι φαρνήσιε,
ὕμνους παραχεῖν παρθένου φαεντάτης,

D λέγω

λέγω δὲ μητρὸς παρθένου ἀρχηγέτου
χριστοῖο θνητῶν, καὶ στρατῶν ὑποπτέρων,
δοκῶν γ' ἔσεσθαι τοὺς δὲ σοὶ θυμήρεας.
πρὸς δ' αὖ μοναστῶν ὄντι σοί γ' ἐπιτρόπῳ,
καὶ μὴν σκεπαστῇ, συνδίκῳ θ' ὑπειρόχῳ,
τίειν σε πάντες καὶ γεραίρειν ὀφλέομεν,
οἳ σοῖς σκέπαις ἀγαλλόμεσθα φαιδίμαις.
τοὺς σοὺς δὲ φημὶ κασινάτας ἐκδότις.
τὴν δ' ἄωτον ἀξιοπρεπέστατον
ῥώμης ἔχειν σε νῦν πρόβολον αὐχοίμεθα,
ἄρχοντα τιμήεντα, μείλιχον, σοφόν,
μουσῶν φίλον, περιφραδῆ, πεπνυμένον.
σύ γ' οὖν ἄειστε τὴν κλυτὴν ὁμήγυριν
ἡμῶν φύλαξον, ἠδ' ἄεξε φαίδιμον
προσκείμενον σύνταγμά σοι μοναστικόν,
τὸ σοὶ πεποιθὸς ἀσφαλεῖ γ' ἐρείσματι.



# ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΔΕ-σποιναν ἡμῶν Μαρίαν παρθένον τὴν θεοτόκον.

Πάντα χρεωστεῦσι μὲν σοὶ θεόνυμφε πάναγνε,
παρθένε κυδίστη Μαριὰμ μακάρων βασίλεια,
ἀνθρώπων κλυτὰ φῦλα κατὰ χθόνα βωτιάνειραν.
ὅσσα γὰρ ἠρινὰ φύλλα καὶ ἄνθεα γίγνεται ὥρῃ,
ὅσσά τε τείρεα λαμπρὰ κατ' αἰθέρα βουκολέονται,
ψάμμος ὅσος πεφόρηται ἐπὶ ῥηγμῖνι θαλάσσης,
ὁππότε πόντιον οἶδμα κακαὶ κλονέουσι θύελλαι,
χάρματα τόσσα παθεῖς προέφερον μεγαλώνυμε κούρη
ἀνδράσιν ἠδὲ γυναιξὶ χαριζομένη χατέουσιν.
ἀλλὰ τὸ πλῆθος ἐμὸν περιώσιον. ἦ γὰρ ἀπ' ἀρχῆς
κυδρὰ ἱερὰ κούρη, μήτηρ ἅτε φίλτατον υἷα
φίλαο κηδομένη με, καὶ ἐν πρώτοισιν ἔτισας,
καὶ κρυερῆς κακότητος ὑπεξείρυσας ἁπάσης
λοίσθια τειρόμενον, χαρωπὴν τ' ἀπέκρυψας ὀπωπὴν
πολλάκις ἀχνυμένῳ, καὶ ὀφέλσιμα πάντα παρέσχες
ῥεῖα φιλοστόργῳ με περιστέλλουσα μενοινῇ.
ἦρ' ἐτεόν σε θεοῦ ἱεροὶ κλείουσιν ἀοιδοὶ
μητέρα μειλιχίης τ' ἀγανῆς, χάριτός τ' ἐρατεινῆς

μητέρα



μητέρα θ' ἱμερτῆς ἀγάπης, ἠδ' ἐλπίδος ἁγνῆς.
ἴστε φίλοι τόπερ ἤδε τορῶς πάντεσσι γεγωνεῖ
ἄσμα καλὸν λαοῖς, καὶ φύλοις γαῖαν ἔχουσιν.
αὐτὴ ἐγὼ μήτηρ τελέθω ἀγαπήσιος ἰρῆς,
μήτηρ τ' ἠνορέης σθεναρῆς, ἀλκῆς τε τέτυγμαι,
εὐπορίης θ' ὁσίης, μεγαλοπρεπίης τ' ἐριτίμου.
δωτίναισι βρύω πολυαλφέσι παντοδαπῇσιν.
οἷς κε θέλω ζωῆς πορσαίνω τέρμ' ἀπέραντον,
ὄλβον ἅπαντα φέρω, κειμήλιά τ' ἄφθονα πάντα,
καὶ τιμῆς στεφάνωμα, τὸ μὴ χρόνος οἶδε μαραίνειν,
καὶ πλοῦτον καρποῦσθαι ἀκήρατον ὀλβιόμοιρον,
ἠδ' εὐδαιμοσύνης εὐανθέα τέρψιν ἄτειρῆ.
τοῖσιν ἔμ' ἀμφαγαπῶσι, καὶ ἐκζητεῦσιν ἑρασταῖς
καρπὸς ἐμὸς χρυσοῖο καὶ ἀργύρου ἔπλετ' ἀρείων,
καὶ πολυτιμήτοις βλαστήματα λᾶας ἐμεῖο
νικᾷ ἀπειρεσίῳ τιμῇ, καὶ μάργαρα λευκά.
αὐτὰρ ἐγὼ στυγέω τε κόρον, καὶ ὕβριν ἀεικῆ,
ἠδ' ὑπερηφανίην ἀνδρῶν, σκολιάς τε κελεύθους
χαιρόντων τε δόλοισι κακορραφίαις τ' ἀλεγειναῖς,
ἄσυλα μηδομένων, καὶ ἀτάσθαλα σκευωρούντων.
ἐν γὰρ ἀληθείῃ πωλέσκομαι, ἔν τε δίκῃσιν
εὐθείαισιν ἐμὴ τελέθει τρίβος, ἀσφαλὲς ἄλκαρ
ἔπλετ' ἐμὸν, βουλή τε καλὴ, πινυτή τε φρόνησις.
ἤτοι ἐμὴ κτίσις ἐστὶ παλαίφατος, ἠδὲ γενέθλη.
ἔκτισέ με κτίστωρ ἀρχὴν αὐτοῖο κελεύθων
ὑψιμέδων, καὶ στῆσεν ἑοῖς ἐπὶ ἔργμασι καλοῖς.
αὐτὸς ἔπηξεν ἐμὲ πρὶν τοὺς αἰῶνας ὑφᾶναι,
πρίν γαῖάν τε τελέσσαι ἀπείρονα, πρίν περ ἀγαυοῖς
κοσμῆσαι γλήνεσσιν ἕδος τηλαυγὲς ὀλύμπου,
πρὶν καταβληθῆναί περ βένθεα γῆς ἐρεβεννῆς,

χεύα-

χεύασθαί τε ῥοαὶ πολιῆς ἁλὸς εὐρυπόροιο,
νάματά τ' ἀενάων πηγῶν, ποταμῶν τ' ἀκαμάτων,
πρίν τε μελαμφύλλων ὀρέων κορυφὰς ἀνεγεῖραι,
αὐτὸς ἄναξ μ' ἐφύτευσε, καὶ ἔκτισεν εὐκλέα νύμφην.
τῆμος ὅθ' ἡτοίμαζε τὸν οὐρανὸν ἄστρα φέροντα,
καὶ δ' αὐτοῦ θρόνον αἰπὺν ἐπ' αὐρέων ἠνεμοεσσῶν
στῆσε διχηλείνας, ὅτ' ἐπεστήριξεν ὕπερθεν
ὀμβροτόκους νεφέλας, πελάγει δ' ἐπέθηκε τὸ τέρμα,
μήτι παρεκβαίνησι, καὶ εὐδένδροιο θέμεθλα
ἥδρασεν ἠπείρου, τότε δὴ τότ' ἄνακτι παρήμην,
καί οἱ ὁμοφρονέουσα σοφοῖς δαιδάλμασι χερῶν
κτιζομένοις ἐχάρην, καὶ ἀθύρμασιν αὐτὸς ἐμοῖσι
τέρπετ' ἔχων ὑποεργὸν ἐπίβολον ἦμαρ ἐπ' ἦμαρ.
τοῖα δ' ἀθύρων ἐγὼ μενοεικέα πατρὶ μεγίστῳ,
καὐτὸς ἀγάλλετ' ἐμοῖσιν ἐπὶ δραίεσσι γεγηθώς.
εὐφράνθην δὲ μάλιστα βροτῶν τεκέεσσι συνοῦσα.
νῦν δέ μου ἐμπάζοισθε φίλαι τάδε τέκνα φρενήρη.
τρὶς μάκαρ εὐδαίμων τε καὶ ὄλβιος, ὅς κε φυλάσσῃ.
ἰθυτενεῖς ἀτραποὺς ἐμέθεν μετ' ἴχνια βαίνων.
τῆς σοφίης ἀΐοιτε πεπνυμένον ἦτορ ἔχοντες,
μηδὲ θύρας ἐπίθεσθε χαλίφρονες οὔασι κωφοῖς.
κεῖνος δὴ περὶ κῆρι μακάρτατος, ὅς κεν ἀκούοι
ἡμετέρων ὀάρων δεδοκημένος, ἐν δὲ θέμισσιν
αἰὲν ἐμαῖς ἐθέλῃσι μένειν, τεθμοῖσί τ' ἐν ἁγνοῖς.
φρουρήσῃ σταθμούς τ' ἐμέθεν κατὰ νύκτα καὶ ἦμαρ
ἀγρυπνείων προθύροισιν ἐμοῖς ὄσσοισιν ἀΰπνοις.
ὃς γὰρ ἔμ' εὑρήσει ζωῆς βροτὸς ἀντιάσειεν,
ἠδ' εὐαμερίης θεόθεν κύρσειεν ἀπείσης,
εἰς δέ μ' ἀλιτραίνων ἀσεβής τι μιαίνεται αὐτός,
καὶ ψυχὴν ὀλέσειε κακὸν μόρον ἀμφαγαπάζων,

Τοῖον



Τοῖον δ' ἀμφ' αὐτῆς κελαδεῖ νημερτέα νύμφη
ὕμνον ἐπισταμένη τὰ παλαίφατα καὶ νέα πάντα,
τὴν ἔθεν ἀρχαίην γενέσιν, γενέσιν τε νεογνῶν,
ὅσσον ἔφυ θνητοῖς ἐριούνιος ἠμερίοισιν,
ὅσσα τε χραισμῆσαι δύναται, στέργουσί μιν αὐτὴν
οἷς ἀγανοῖς δώροισιν, ἰδ' ἀγλαΐαισιν ἀγαυαῖς.
νῦν δ' αὐτῆς φράζεσθε νόου περίπυστον ἐραστήν,
σύγγονον ἀγύγιόν τε καὶ ἔθνεος ἔκπροθεν αὐτοῦ,
αὐτὴν κληΐζοντα καὶ ἠπύοντα πρεπόντως,
τῆς σοφίης περίφρασιν κεχρημένος ἀγλαοδώρου,
οὕνεκεν ἀκρόσοφον καὶ πάνσοφον οἶδεν ἔσεσθαι.
παμφανόωσα πέλει σοφίη καὶ πᾶσα διαυγής,
αἰεὶ δ' ἄβρα τέθηλεν ἀκήρατος, ἠδ' ἀμάραντος.
εὐαύγητος ἔφυ τοῖς αὐτῆς μυστιπόλοισιν,
εἰσωπός τ' ἀβολεῦσα φαείνεται οἷσι φίλοισιν,
εὔδωρον βασίλειαν ἐπιζητοῦσι προθύμως.
καὶ γάρ μιν ποθέουσιν ὑποφθαμένη ἐπιφαύσκει
οὐκ ἀέκουσα φιλεῖ. καὶ ἐπορθρεύοντι πρὸς αὐτὴν
ἕστηκε περὶ πυλέων ποτιδεγμένη, οὐδὲ πονήσει
εὑρεῖν ἀνὴρ ἐρέων νύμφην καὶ ἀγακλέα κούρην,
οὐδὲ δυσωρήσει δυσκηδέα νύκτα φυλάσσων.
νώσασθαι περὶ τῆσδε πέλει τέλεόν τι νόημα,
οὐδὲ μεριμνήσειεν ἀγρυπνέων εἵνεκεν αὐτῆς.
αὕτη δ' ἀμφιπολεῦσα βροτὸν τὸν ἐπάξιον εἷο
μαστεύει φιλίης ἀγανῆς, πρόφρασσά τ' ἐπαρκεῖ
ὁπόσα χρηΐζων ἀπορεῖ κατὰ χρεῖος ἅπαντα,
καὶ τεύχει δώροις θεοειδέα θνητὸν ἐοῖσιν.
τὴν δ' ἐπικεκλόμενον κῆρ μου ἠρήσατ' ἑλέσθαι,
εὐχομένῳ δ' ἐδόθη σοφίης μοι πνεῦμα φαεινῆς,
καὶ προὔκρινα θρόνων αὐτήν, σκήπτρων τ' ἀγερώχων.

οὐδέ τι

οὐδέτι πλοῦτον ἔφην τῇ δ' ἄξιον ἀντιφερίζειν,
οὐδὲ λίθους πάντας τιμαλφέας, οὐδέτι χρυσόν.
πᾶς γὰρ χρυσὸς ἔφυ ξυμβλητὸς τῇ δ' ὀλίγη τις
ψάμμος γιγνομένη γλαυκῆς ἐπὶ θινὶ θαλάσσης·
καὶ πηλὸς τενάγους πᾶς ἄργυρος ἰσοφαριθείς.
τῆς δ' ὑπὲρ ἱμερτὸν κάλλος, θαλερήν θ' ὑγιείην
ἠρασάμην, μεθέπειν τ' αἴγλης τὴν δ' ἀντὶ φαεννῆς
ἐφράσθην, φάος ἄσβεστον ταύτης γὰρ ὑπάρχει,
αἰὲν ἀκοίμητον, πάντων κειμήλιον ἐσθλῶν.
καὶ πηγὴ χαρίτων ἄμυδίς μοι ἐπῆλθε σὺν αὐτῇ,
εἰρήνη τ' ἀγαθή, καὶ εὐφροσύνη τεθαλυῖα.
ἦλθε δ' ἀπειρέσιος πλοῦτος, καὶ ἀθέσφατος ὄλβος.
εὐφράνθην δὲ μάλιστα καλοῖς πάντεσσι βεβριθώς.
ἔστι γὰρ ἐν σοφίῃ νοερόν τι πνεῦμ' ἅγιόν τε,
μουνογενές, λεπτόν, καὶ ἀγχίνοον, καὶ ἐΰφρον.
ἀμφιλαφές, πανάχραντον, ἀλεξίκακον, θεοειδές,
ἀσφαλές, ἀρτιεπές, παμποίκιλον, ἀγλαόδωρον,
παγκρατές, εὐειδές, μεγαλοπρεπές, ἠϋγενές τε,
εὔδιον, εὐκίνητον, ἐπίστροφον ἡμερίων τε,
λαιψηρόν, χαρίεν τε, περιφραδές, ἠδὲ προμηθές,
εὔσκοπον, ἀκραιφνές, πανδερκές, παμφαές, ἁγνόν,
πάντα διαυγείαισι διέρπον πνεύμαθ' ἑῇσιν
ἀνθρώπων, μακάρων τε κατ' αἰθέρα, καὶ χθόνα δῖα
πάσης γὰρ ταχινῆς κινήσιος ἔπλετο θᾶσσον,
πᾶσιν ἐνισκήπτον πέρασι ταχυδινέϊ παλμῷ
τὴν δι' ἀκραιφνείην, τὴν οἱ πόρεν ἄφθιτος ἐσθλήν.
ἀτμὶς γὰρ πέλεται κράτεός τ' ἀλκῆς τε θεοῖο,
καὶ δόξης μεγάλου εἰλικρινὲς ἄνθος ἄμεμπτον
κραντῆρος, ἄνθος ἄμεμπτον, ἰδ' ἀγλαόμητις ἀπορρώξ.
οὐδὲ παρεμπίπτει μεμορυγμένον οὐδὲν ἐς αὐτήν.





ἀενάου δ' ἀμάρυγμα φάους πέλει, ἠδὲ διαυγές,
ἄχραντόν τε κάτοπτρον ἔφυ θεότητος ἀγαυῆς,
αὐτοτελοῦς εἰκών τ' ἀγαθοῦ, φύσιός τε φερίστης.
καὶ μία περ γεγαυῖα θέλει ξύμπαντα τελέσσαι,
πάντα τ' ἀνακτίζειν ἐν ἑαυτῇ ῥεῖα μένουσα.
καὶ κατὰ τὰς γενεὰς εἰς ψυχὰς ἁγνὰς ἰοῦσα
πότνια θεοῖο φίλους τεύχει, θείους τε προφήτας.
οὐδ' ἀγαπᾷ τι θεὸς μὴ νύμφης τῆσδε σύνοικον.
αὐτὴ γὰρ τελέθει τερψιμβρότου ἠελίοιο
φαιδροτέρη, κόσμον χαροπῶν τ' ἀποκαίνυται ἄστρων
αἰθέρος ἐν γυάλοισι χοροστασίας τελεόντων,
τῶν θνητοῖσι κρύος, καὶ τῶν θέρος ὀξὺ φερόντων.
τὴν δὲ παραβληθῇ, προφερεστέρη ἔπλετο φέγγευς.
τοῦτο μετεκδέχεται γὰρ ὁμίχλη νυκτὸς ἀϊδνῆς,
τὴν νέφος οὐδ' ἀκαρῆ κακίης ποτ' ἔχρηνεν ἄμορφον.
ταύτην οὖν ἐφίλησα, καὶ ἐκ νεότητος ἐραννῆς
ἐνδυκέως ἐμάτευσα λαβεῖν περικαλλέα νύμφην.
ἐκπάγλως δὲ γλυκὺς φρένας ἵμερος εἷλεν ἐμεῖο
κούρης ἱμερτῆς, καὶ τῆς δ' εὐανθέος ὥρης.
οὐδέ οἱ οὐδέτι πικρὸν ἔχει καὶ ἀδευκὲς ὁμιλεῖν,
οὔτινα δυσφροσύνην ὀαριζέμεν, ἀλλὰ γάνυσθαι
ἀνδρὶ δι' αἰῶνος θνητῷ φέρει, ἁρπαλέας τε
αἰὲν ἄγει θαλίας τε, καὶ εὐφροσύνας μελιτερπεῖς.
πὰρ δέ οἱ εὐανθής τ' ὄλβος, φέγγος τ' ἀμίαντον,
οἷα χοροῖς θάλλει μακάρων, οἳ ὄλυμπον ἔχουσιν·
νῦν δ' ἄγε καὶ τι λέγω περὶ αὐτῆς παρθένος ἄκρη,
εἰσαΐοιτε φίλοι, καὶ ἐπευφημήσατ' ἄνασσαν,
τὴν πᾶσι μακάρεσσι μετ' οὐρανίδῃσι πρέπουσαν,
ἀμβροσίοις ἐπέεσσιν ἰοπλόκαμον θεολαμπῆ.
οὐδὲ γὰρ οὐδέτι μεῖζον ἐν ἀνθρώποισι φύτευσεν,

οὐδὲ θεοπρεπὲς ἄλλο πλέον, καὶ κάλλιον ὧναξ
ἔκτισε παντοκράτωρ ἐξ οὗπερ κόσμον ἔπηξεν
παρθένου ἀδμήτης ταύτης κατὰ γῆν τε καὶ αἴθρην.
ἀκτίστου σοφίης τὴν ἤθελε μητέρα θέσθαι,
καὶ γόνου οἰογόνοιο θεητόκον ὀλβιόμοιρον.
τοιγὰρ καὶ τιμέων γενεῆς γενέτειρα μετέσχεν
τῶν δὲ θεοπρεπέων, ἅθ᾽ ὁμόγνιος υἱεῖ μήτηρ.
ὅσσα τ᾽ ἐὴν τέκνου πρεσβήϊα, γιγνομένης τε
ταῦτα πέλειν ζαθέης φημίζεται ἀτρεκὲς αὔτως,
καὶ τὰ γόνος ποίησε, καὶ αὐτὴ τεῦξε τεκοῦσα.
εἶπε δ᾽, ἔγωγ᾽ ὑπάτου στόματος βλάστησα μονάρχου
μουνογενὴς παντὸς πρὸ κτίσματος, ἐξανατεῖλαι
οὐρανοῦ ἐν γυάλοισιν ἐπήνυσα φῶς ἀμάραντον,
καὶ χθονὸς ἀμφεκάλυψα πέδον βαθὺ, ἠΰθ᾽ ὁμίχλη.
ὑψηλοῖσιν ἔγωγε κατεσκήνωσα μελάθροις,
καὶ θρόνος ἡμέτερος νεφέλης ἐνὶ κίονι πήχθη.
οὐράνιόν τε κύκλον ταναὸν μόνη ἀμφιπολεύω,
βύσσαν ὑποβρυχίην τε καὶ ἠερόεσσαν ἄβυσσον
ἐξερέουσα πατῶ, τενάγη θ᾽ ἁλιμυρέα πόντου,
τηλέπορόν τ᾽ ἄδυτον περόω ζοφοειδέος αἴης.
κλῆρον ἐν ἠπείρῳ τε καὶ ἠχήεντι θαλάσσῃ
ἔμμορον, ἀρχηγός τ᾽ ἐθνέων γενόμην ἀγερώχων,
ἠδὲ πολυσπερέων λαῶν κατ᾽ ἀπείρονα γαῖαν.
αὐτὰρ ἐγὼ μετὰ τοῖς δ᾽ ἄμπαυσιν πᾶσιν ἐραννήν,
καὶ φάος ἡσυχίης ἐξηρεύνησα γαλήνης
ἱερὸν, ἀστασίαστον, ἐν ᾧ ναίοιμι ἕκηλος.
καὶ τότε δὴ πάντων κτιστὴς ἐνετείλατ᾽ ἔμοιγε,
ὃς θέλε παύσασθαι ἐν ἐμῷ σκηνώματι καλῷ.
εἶπε δ᾽ ἐν εὐαγέεσσι κατασκήνωσον ἐμοῖσιν
λῆξιν ἔχουσα τεὴν μετ᾽ ὀπιζομένοισιν ὁμίλοις,

εὐσε-



εὐσεβέων πραπίδεσσι θεὸν μέγαν εἰσορόωσιν.
στερεὰ δ᾽ ἐπὶ λογάδεσσιν ἐμοῖς ῥιζώματα βάλλε.
ἐκ παλαιῆς κτισθεῖσα μενῶ, καὶ οὐκ ἀπολήγω
πώποτε λειτουργεῦσα κατάντιον ἀθανάτοιο,
ὀτραλέη θεράπαινα θεουδεῖ ποιπνύουσα
νωλεμὲς ἐν σκηνῇ, ἱδρυμένη ἐν περιωπῇ
θεαρεστίης Σιῶνος ἐν ἄστεϊ τιμήεντι,
τήν ῥ᾽ ἐφίλησε θεὸς, θείοις θ᾽ ἥγνισε καθαρμοῖς,
εἰρήνης θαλερῆς χαροπήν τ᾽ ἐκάλεσσε πρόσοψιν.
τῇ κράτος ἠδ᾽ ἀλκῆς ἐμέθεν σθένος ἐστήρικται.
ἐνθάδε κυδήεντι βάλον ῥιζώματα λαῷ,
ἀμφ᾽ ἁγίων θ᾽ ὁμάδοισι κατάσχεσίς ἐστιν ἐμεῖο,
τοὶ λάχον ἠγαθέην μοῖραν, κλῆρόν τε θεοῖο.
οἵη τ᾽ ἐν Λιβάνῳ εὐώδεϊ ὑψιπέτηλος
κέδρος ἀνυψώθην περὶ δειράσιν ἠλιβάτοισιν.
ὡς ῥαδινὴ κυπάρισσος ἀειρομένη κατ᾽ Ἀερμοῦ
ἄκρας εὐδένδροις, ὡσεὶ φοίνικος ἀνέσχον
ἀμφὶ Κάδης γουνοῖσιν ἀνερχόμενον φυτὸν ὀρθόν:
οἷά τ᾽ ἐν εἰαμενῆς πλάτανος τεθαλυῖα ῥοαῖσιν
εὐμήκης, ἐτάνυσσα βραχίονας ὡς τερέβινθος,
ὥσκεν ὁδοιπορέοντας ἐμοῖς σκεπάοιμι πετήλοις.
οἷά τ᾽ ἐλαϊνὸν ἔρνος ἀνεβλάστησα χλοανθεῖ
εὐπρεπὲς ἐν πεδίῳ, ῥόδον ἠΰτε λαρὸν ὄδωδα
ἐν μήνης ὄρχοισι φατιζομένοις ἀπὸ φαιδρῆς.
καί τε δίκην στακτῆς, καὶ σμύρνης ἡδυπνόοιο,
ἀσπαλάθου θ᾽ ἑδανοῦ, καὶ ἀκηρασίου κιναμώμου,
τερπνὸν ἀποπνείεσκον ἀϋτμὴν πᾶσιν ἐραννήν.
ὥσπερ ὄνυξ, λίβανός τε, καὶ ἡ μερὶς ἡβώωσα
ἐξεπέτασσα χέειν μυροφκέα πᾶσαν ἐπ᾽ αἶαν.
εὐκλείης πεφύασι δὲ λείρια καρπὸς ἐμεῖο.

 εἰμὶ

εἰμὶ δ' ἐγὼ μήτηρ ἀγάπης ἀγανώπιδος ἁγνῆς,
εἰμὶ δ' ἀριζήλου μεγέθους, μήτηρ τε φόβοιο,
εἰμὶ δαημοσύνης θεολαμπέος, ἠδ' ἐλπωρῆς τε.
πᾶσ' ἐπ' ἐμοίγ' ὀρθῆς οἴμου χάρις ἔπλετ' ἀμεμφής,
πᾶσά τ' ἀληθοσύνης, ζωῆς τ', ἀρετῆς τ' ἐρατεινῆς.
δεῦτε λιλαιόμενοι πρὸς ἐμὲ συνέρχεσθε πρόπαντες,
ὑμμέ τ' ἀφ' ἡμετέρων ἄδδην ἐμπλήσατε βλαστῶν.
πνεῦμα γὰρ ἡμέτερον πολὺ νέκταρος ἥδιόν ἐστιν.
κλῆρος ἐμὸς γλυκύτητι μελίρρυτα κηρία νικᾷ.
μνῆμα δ' ἐς αἰώνων γενεὰς δηναιὸν ἐμεῖο.
πᾶς τις ἀνὴρ ἔμ' ἔδων πεινήσει δεύτερον αὖτις.
πᾶς πίνων γ' οὐ δίψαν ἀκέσεται, ἣν πρὶν ἔχεσκεν.
οὔποτ' ὁμοῖ προσέχων ὄνοτος καὶ ἐπίψογός ἐσται,
οὐδ' ἀΐδηλος ἀνήρ, ὅς τ' αὐτ' ἐν ἐμοίγε πονήσει,
οὐκ ἂν ἀλιταίνοι, κλήϊσαι μ' ὅστις ἐπείγῃ,
ἔσσετ' ἀτερμάντου βίου ὄλβιος ἀντιβολήσῃ.
κρουνὸς ἅτ' ἐκ ποταμοῦ βαθυδίνεω, ἥτις ἀπορρώξ,
ἐξεσύθην καταχηδὰν ἀειθαλέος παραδείσου.
εἶπά τ' ἐπαρδεύσειν ἐριθηλέα κῆπον ἐμεῖο,
καὶ λιαροῖς πρασιὰς ἀτιταλλέμεναι ῥυάκεσσιν,
ἠνίδε δ' εἰς ποταμοῖο γάνος γένετ' εὐρὺ διῶρυξ,
καὶ ποταμὸς δ' αὖ χεῦμα βαθύρροον ἔπλετο πόντου.
αὐτὴ ἐπιστήμην διαγλαΐσω, οἷά περ ὄρθρον,
εἰς τέλος ἀγγέλλουσα νοήματα θεῖ' ἀπέραντον.
νειόθι δ' εὐρυχόρου χθονὸς ἔσχατα ἀντιπορήσω
εἰσδύνουσα βάθη, καὶ ἐπόψομαι ὕπνον ἀτερπῆ
ὑπνώοντας ὄχλους, ἄκρα πιστεύοισιν ἄνακτι
πᾶσιν ἐπαστράψω, διδαχὴν δ' ἔτι, οἷά περ ὀμφήν,
ῥεῖα χεῶ ζαθέην, καὶ ἐτήτυμα θέσφατα χρησμῶν.
τοῖς δ' ἐπιμαιομένοις σοφίης μνημήϊον ἐσθλὸν

πᾶσι



πᾶσι λιπῶ μερόπεσσιν ἀμήρυτον ἐς χρόνον αὐτήν.
ταῦτα μὲν ἀμφ' αὐτῆς ζαθέη κελάδησεν ἀηδών,
πρίν περ ἐπ' ἀνθρώπων μετεκίαθε φῦλα γεγῶσα,
φθεγγομένη πιστῶν στόματος διὰ εἷο προφήτου,
τοί ῥ' αὐτῆς φράσαντο κλέος καὶ ἀοίδιμον εὖχος
πουλύ τι ἤπερ ἔπλετο παροίτερον ἀγλαὸν ἔρνος,
πᾶς τις ἵν' εὖ γνοίη ὅσσον προφερεστέρη ἄλλων,
πρεσβυτέρη τε πέλει μερόπων παλαχῆθε γεγώτων.
φαίνοιτο δ' ἔθεν μύσται περὶ τῆς καὶ κεῖνα λελέχθαι,
κἂν δοκῇ εἰρέσθαι μεγάλου περὶ ἀρητῆρος.
ἄστρον ἅτ' ἠῴων νεφελῶν μεσσηγὺ περιλάμπει,
καὶ πλήρης διχομήνις ἐν ἤμασιν οἷσι σελάνα,
ὡς στίλβει φαέθων ναὸν κατ' ἀπείρονα κόσμου,
τόξον ἅτ' ἀστράπτον πολυποίκιλον ἐν νεφέεσσιν,
ἄνθος ὅπως ῥόδεον πολιοῦ ἐπὶ εἴαρος ὥρῃ,
ὡς κρίνα νιφαργῆ παρὰ νάμασιν ὑδρηλοῖσιν,
βλαστὸς ὅπως λιβάνοιο θέρους κατὰ καιρὸν ὄδωδεν,
ὡς ἐπὶ πυρκαϊῆς λίβανος τεθυωμένος αἴθης,
ἠΰτέ τις κρητὴρ πάσαις ἠσκημένος αὐγαῖς
δαιδαλέων λιθάκων χρυσήλατος, οἷά τ' ἐλαίης
δένδρεον ὡραίης καρπῷ βρύον ἱμερόεντι,
ὡς ῥαδινὴ κυπάρισσος ἔσω αἰθέρα δῖαν ἰοῦσα
ὀξείῃ κορυφῇ, τὼς δὴ πρέπε πότνια κούρη.
ἀλλὰ λέγωμεν ὅπως ἤδ' εἰς χθονὸς ἵκετ' ἀλωὴν
πᾶσι μέλουσα κόρη θεοείκελος ἀγλαόμορφος,
καὶ ποίων γονέων θάλεν αἵματος ἐκγεγαυῖα,
ἡμερὶς οἰνοπέδῳ ὡς ἐκβλαστοῦσα τερείνη.
οἱ τοκέες τῆς παιδὸς ἔσαν καλοί, εἴ νύ τι καλὸν
λοιπὸν ἔτ' ἔσκεν ἄνωθεν ἀπὸ κλεινοῖο προφήτεω,
τὸν θεὸς ἐκ ποίμνης καλέσας νέον ἀγραυλοῦντα

ἱερ

εἰροπόκων οἰῶν λαῶν ποίησεν ἄνακτα,
ἀλλ' ἄγονοι πρὶν τήνδε τεκεῖν θήλειαν ἀγαυήν.
εὐξαμένοιν δὲ θεῷ θέμεν ἱερὸν ὅττι τέκοιεν,
εὐχωλῆς ἀΐων τὴν δ' αὐτοῖν δῶκε θύγατρα
γειναμένοιν ῥοδόπηχυν, ἐπήρατον, ἀγλαόκαρπον.
δῖα κόρη ὅτε μέν σ' Ἄννη τέκε πότνια μήτηρ
καλλίστην μερόπων ἱερὴν σολύμων κατὰ χώρην,
ὀδμῆς ἀμβροσίης ἐπλήσθη κόσμος ἀπείρων,
γήθησέν τε βαθὺς πόντος, καὶ γαῖα πελώρη,
αἰθήρ θ' ὑψιφανής, καὶ τείρεα λαμπετόωντα.
ὅττι τεκεῖν ἤμελλες ἀλεξίμορον βασιλῆα,
κλεινὸν ἀοσσητῆρα βροτῶν, σωτῆρά τε κόσμου,
παρθενίης περ ἔχουσα κόρη πανακήρατον ἄμμα.
τῆμος δ' ἠελίοιο πάϊς χαροπή τε τεκοῦσα,
ἠριγένεια φάνη ῥοδοδάκτυλος ἀτρεκὲς ἡμῖν,
ἣ θεοῦ ἐξήϊξε, θεὸν δ' ἔθεν ἐξανέτειλεν,
ὃς ψυχέων κρυόεσσαν ἀπημάλδυνεν ὀμίχλην.
τῆμος ἀλωομένοις βιότου κατὰ λαῖτμα βροτείου
ἀνθρώποις μογεροῖσιν ἐφαίνετο οὔποτε δῦνον
ἄστρον, ὃ καλὸν ἔφηνε πολυπλάγκτοισί ποθ' ὅρμον,
ἄμμε τ' ἄλης ἀπέπαυσε πολυκλαύτων τ' ὀδυνάων.
φημὶ δὲ τέκνον ἑὸν θεὸν ἄμβροτον, ἠδὲ καὶ ἄνδρα.
τῆμος ἔτ' ἐβλάστησε θεοπρεπὲς ἄνθεμον ἁβρόν,
ἄνθεμον εὐῶδες θνητοῖς ζωαρκέα καρπὸν
πᾶσι φέρον θανάτου σκιοειδέα χῶρον ἔχουσιν.
ἶρις δὴ τότ' ἔλαμψεν ἐν οὐρανῷ ἀστερόεντι,
πᾶσιν ἐπαγγελέουσα πανεύδιον ἦμαρ ἔσεσθαι,
φημὶ γενησόμενον θεὸν ἵλαον ἄρτι βροτοῖσι.
τῆμος τηλεθάον ποταμοῦ ἀναβέβρυχεν ἄμμι
ῥεῦμα νέον γλάγεος πλῆρες, λιβάδων τε μελιχρῶν.

ὅσκεν



ὅσκεν ἐπαρδεύσοι ζαφερῆς κλυτὰ πείρατα γαίης.
ἀλλ' ὅτε δὴ χρόνος ἦλθε τελεῖσθαι θέσκελον εὐχήν,
τὴν περ ἐπευξάμενοι γόνιμοι γεράασι γονῆες
καλλίστης μερίης, τὴν παρθένον εἰς θεοῦ αὐλήν,
καίπερ μουνογένειαν ἐειδομένην χαρίτεσσιν,
σκῆνος ἀμωμήτην, πραπίδας μακάρεσσιν ὁμοίην,
ὀτραλέην θεράπαιναν, ἐπήρατον ἄνθεμ' ἄνακτι
ἤγαγον ἀθανάτων ὑποκόλπιον οὐκέτ' ἐοῦσαν,
ἀλλ' ἤδη τελέτηρον ἅμα τροχόωσαν ἐκείνοις.
ἐνθάδε δηναιοὶ κούρην κεκλῆσθαι ἄνασσαν
παρθενικῶν φήμιξαν, ὅτ' ἤτριον ἔλλαχεν αὐτὴ
ἀσκεῖν πορφύρεον σεπτὸν καὶ δῶμα θεοῖο.
ἄλλαι γὰρ κοῦραι προειδώμεθα φαῦτο, τὶς ἡμέων
ἐξάρχῃ βασίλεια, καὶ ἄλλων κοιρανέῃσιν,
ἣν τινα δ' ἐργάζεσθαι ἁλουργίδα λαχμὸς ὁ βληθεὶς
ἐμφήνῃ, ταύτην πᾶσαι δέσποιναν ἔχωμεν.
ἔνθ' ἄρ' ὁμοῦ πήλαντο, πάλος δέ τ' ἔδειξε μαρίην
παρθενικῶν κρείουσαν ἀγακλέα, καὶ τότε πᾶσαι
αὐτήν τ' ἠσπάσαντο, καὶ ὡς βασίλειαν ἔτισαν.
ἦχι δ' ἔμιμνε κόρη πάσαις ἀρεταῖσι βρύουσα,
ἤθεσι κυδαλίμοισι κεκασμένη, εἰσόκε καιρὸς
ὥριος ἦλθε γάμου, τότε δ' ἑδνωθεῖσα δικαίῳ
ἀνδρὶ κύησε θεὸν μεγάλου θεοῦ υἱὸν ἐόντα,
καίπερ ἐοῦσα κόρη, σώζουσά τε κούριον ἄνθος,
τὴν πολυάρητον χρυσοπτέρου ἀγγελιώτου
δῦντος, ἅτε πνοιὴ ἀνέμου εἰς δέμνιον αὐτῆς,
ἀγγελίην ἀΐουσα, πατὴρ θεὸς ἥν οἱ ἔπεμψεν
παντοκράτωρ, ὅθεν ἀθανάτων βασιλῆα βροτῶν τε
ἀρρήτοισι γοναῖσιν ἀπειρολεχής περ ἔτικτεν
παρθένος ἀπροτίμαστος ἀκήρατον ἄνθος ἔχουσα.

καὶ ἀπεί-

καὶ ἀπείρανδρος τεκοῦσα, καὶ ἔτρεφε κουρίζοντα,
Χριστὸν ἀεὶ ζώοντα πατρὸς γόνον οὐρανίδαο,
ἀργεννὸν στάξασα καλοῖς περὶ χείλεσι νέκταρ,
καὶ τότ' ἔκυσε θεοῦ κεφαλὴν, καὶ ὄμματα μήτηρ.
τοὔνεκεν οὗλος ἔην ἔθεν αὐτῆς, οὔτέ του ἄλλου
υἱὸς, ἐπεὶ μούνη τὸν ἐγείνατο ἠδ' ἀτίτηλεν.
ἔστι δ' ἀμήτωρ αὐτὸς ἐν οὐρανῷ, ἐν χθονὶ δῖα
ἔστ' ἀπάτωρ, ἥρως διφυὴς, θεὸς ἠδὲ καὶ ἀνήρ,
ἄνθος ἀείμνηστόν τ' ἀνδρῶν καὶ ἀοίδιμος ἐστίν.
ὃς θνητοὺς θανάτοιο δυσαλγέος ἐξεσάωσεν
δυστήνους, θάνατόν τε μέλαν, καὶ λοιγὸν ἀλάλκων.
ἐμπορίην τ' ἐφύτευσεν ἀειθαλέος βιότοιο
ἀγκλίνας βηλοῖο πύλας πολυτειρέος ἄμμιν,
ὄφρα ποτ' ἰσοπαλεῖς ἁγίοις μακάρεσσιν ἐόντες,
οὐρανοῦ ἀμβῶμεν ζαθέην πολυχανδέος αὐλήν.
οὐ γὰρ δὴ νεμέσησεν ἀγασσάμενος κακὰ ἔργα,
οὐδὲ δίκας ᾔτησεν ὑπερβασιῶν ἀλεγεινῶν,
κόσμον ἅμ' ἀμπλακίῃσι καταφλέξας πυρὶ δηΐῳ,
ὡς ὁπότ' ὀμβρήεντι κατέκλυσεν ὕδατι γαῖαν,
φῦλα βροτῶν τ' ἀπόερσε πολυαστερέων κακοεργά
ἐνσκήψας λαοῖς χαλεπὴν ἀεσίφροσιν ὀργήν.
ἀλλ' ἐλέησεν ἄναξ μᾶλλον μεροπηΐδα φύτλην
βᾶσαν ἐπ' εὐρώεντα μυχὸν κρυεροῦ ἀΐδαο.
ψυχέων δ' ἅμα χέας ζωάγριον ὀλλυμενάων
εἴρυσεν ἐξ ἄτης ὀλοόφρονος ἀγεσίλαο,
ἀρνύμενος πάντας ζωαρκέα πίστιν ἔχοντας.
τύνη δ' εἶ μήτηρ μακάρων, σύ γ' ἐπάξιος οἵη
κεκλῆσθαι μεγάλη, τοι δ' οὔνομα σεμνὸν ἄρηρεν.
ὅσσοι γὰρ πελόμεσθα φερώνυμοι ἀγλαοῦ υἱοῦ,
τέκνα σέθεν πελόμεσθα. σὺ μούνη πάντας ἔτικτες
τὸν



τὸν μοῦνον τέξασα σὸν υἱέα παμβασιλῆα,
Χριστὸν ἀειγενέτην ἀγαπήνορα παῖδα θεοῖο.
οὐδέ σου οὐδ' ἀπάνευθε θεούμενοι ἁγνὸν ὀλύμπου
βαίνομεν εἰς θῶκον, καὶ ὁμήγυριν οὐρανιώνων.
τῷ σε μάκαιρα πύλην σωτήριον ἀστερόεσσαν
αἰθέρος εὐρυχόροιο προσαυδῶμεν βροτὰ φῦλα,
κλίμακά τ' ἠγαθέην ποτὶ οὐρανὸν αἰπὺν ἄγουσαν.
τὴν νύμφη χαρίεσσα παναιόλῳ ἄνθεα χειρὶ,
ἄνθεα χρυσαυγῆ, ἁλιπόρφυρα, λευκά τ' ἰδέσθαι
γαῖα φύει, νάρκισσον εὔπνοον, ἠδ' ὑάκινθον,
ἠδ' ἴον, ἠδ' ἕρπυλλον, ἅμα κρίνῳ ἀργινόεντι,
ἀγλαΐην τε ῥόδοιο, κρόκου τ' ἐρόεσσαν ἔθειραν,
λωτόν θ' ἑρσήεντα, φόβας θ' ἁπαλῆς ἀνεμώνης.
ὁππόσα τ' ἄλλα φέρει γάνος εἴαρος ἀνθοκόμοιο.
νερτέριοι πτῆνες ἀλυσκάζουσί σ' ἄνασσα
προτροπάδην, φεύγει δέ σ' ἄναξ ἐνέρων ἀϊδωνεὺς,
καὶ κρυόεσσ' ἄτη, φεύγει δυσπλῆτις ἐριννὺς,
καὶ βλοσυροὶ κῆρες μέλανας ἀραβεῦσαι ὀδόντας,
καὶ κόρος ὕβριος υἱὸς ἀναιδέος ἐγρεκυδοίμου.
πᾶν τε γένος κακὸν ἄλλο παλίγκοτον, ἠδὲ δαφοινὸν
οὔτι σέθεν τολμᾷ κατεναντίον ὄμμα τιταίνειν.
δεινωπὸς δέ τις ἐστὶ, καὶ ἔκπαγλος μάλα πᾶσιν,
οἳ συγχέουσι θεὸν καὶ ἀτάσθαλα μηχανόωνται.
οἷά τις ὁπλισθεὶς στρατὸς εὐρὺς νώροπι χαλκῷ
εἰς δῆριν στονόεσσαν ἐειδομένη κακοχάρτοις.
εὐσεβέεσσι δὲ πᾶσιν ἐείδεαι ἵλαος αἰεί,
εὐειδὴς, ἀγανῶπις, ἐπήρατος, οἷά τ' ἀνέντος
χειμῶνος κρυεροῖο φαείνεται εὔδιος ἡμῖν
εἴαρος εὐόδμου φαιδρὴ χάρις, οἷά τ' ἀμολγῷ
νυκτὸς ὁδοιπορέουσι σελήνης εἶδος ἀγαυῆς.

ἠελίου τε φάος χαροπὸν μετὰ νήριτον ὄμβρον.
κάρτος ἀνίκητον καὶ ἀπειρέσιον δύνασιν σὴν
δεῖξεν ἰουλιανὸς βασιλεὺς ἀΐδι προϊαφθείς,
ὃς θεὸν ἐξαθέριζε σέθεν γόνον οὐρανίωνα.
δεῖξεν ἀμφλίκτῳ θ' ὃς δαίμονι δῶρον ἀεικὲς
προστασίης δι' ἔρξα θεόσφιλος αὐτὸν ἔδωκεν,
τὸν μεταγνώσαντα κρατερῶν ὑπελύσαο δεσμῶν,
ἰφθίμη σέο χειρὶ βροτῶν δέσποινα φερίστη.
ἀλλὰ καὶ αὐτὸς ἔγωγε πεπείραμαι σέθεν ἀλκῆς
πολλάκι θεσπεσίης, ἠδ' εὐμενίης εὐδώρου
εἰν ἁλὶ, καὶ χέρσῳ, πρόβολον καὶ σύμμαχον ἐσθλὴν,
ἠδ' ἐπίκουρον ἑλὼν, καμάτων δ' ὑπελύσαο δεινῶν,
καὶ νούσων θεράποντα τεὸν, καὶ ὀϊζύος αἰνῆς,
ἠδὲ κακῆς λώβης γ' ἀνδρῶν κακὰ μοὶ φρονεόντων.
τόσσον δὴ θνητὸς δύναται σέθεν ἀλκὶ πεποιθώς.
νῦν δέ σε, νῦν λίτομαι καὶ ἐσύστερον ἄμμιν ἀρῆξαι,
σύν τε παραστατέειν τεθλιμμένον ἦτορ ἔχουσιν,
στείνευς τ' ἐκ παντὸς, καὶ ὀϊζύος αἰνομόροιο
ῥύσασθαι, δύνασαι γὰρ ὅσα φρεσὶν ᾗσι μενοινᾷς
ῥηϊδίως τελέσαι, μεγάλου υἱὸς ἱμερόεσσα,
καὶ θυγάτηρ γεραιὰ θεοῦ, καὶ πότνια μήτηρ.
ἀλλὰ λιταῖσιν ἐμαῖς ἀριήκοον οὖας ὑπόσχες,
καὶ κακίης με κάθηρον, ἀτασθαλίης τ' ἀπὸ πάσης,
ὄφρα σ' ἰδεῖν οἷός τ' εἴην ὑψίθρονον ἄνασσα,
καί σέ γ' ἀνυμνήσαιμι διηνεκέεσσιν ἐν ὕμνοις,
σὺν λοιποῖς ἁγίοισι δι' αἰώνων ἀπεράντων.



## ΑΝΑΤΙΘΕΤΑΙ ΑΡΜΑ, ΗΤΟΙ ΦΟρεῖον τῇ παναγίᾳ θεοτόκῳ, ὅ,τι πρὸς χάριν αὐτῇ γενήσεσθαί φησι φορουμένη ἐπ' αὐτοῦ, ἐπειδήπερ καὶ αὐτὴ καλεῖται ἅρμα τοῦ θεοῦ, κατὰ τὸ τοῦ ψαλμοῦ ῥητὸν, ἅρμα θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων.

ΠΟλλοὶ μὲν γραπτὴν χόρτοισι θυώδεσι νηῶν
στῆσαν ζωογράφων παῖδες ἄνασσαν ἐμὴν
δαιδαλέοις πινάκεσσιν, ἀγασσάμενοι θεοῦ ἁγνὴν
μητέρα, προφερτίστην οὐρανίων μακάρων.
ὅσσα γὰρ εἰς τιμὴν γενετείρας τεύχομεν ἄνδρες,
τόσσα θεογνήτον τεύχομεν εἰς γενεήν.
κληθείη νενίηλος, ὃς οὐ τέκος ἀγλαΐεσθαι
φαίη μητρῴῃ δόξῃ ὅσσον σφετέρῃ.
ἄλλοι δ' ἱερὰ βρέτη καὶ ἀγάλματα τεκτήναντο,
δὴν ἐπὶ τῆς αὐτῆς βαθμίδος ἑσταότα,
ἀντ' ἐτύμης χαλκὴν καὶ λύγδινον ἱδρύσαντες.
τόσσον δεσποίνης κῆρ πόθος ἡμέτερον,
τοσσόν δ' ἐνδαίει γλυκὺς ἵμερος ἠπιοδώρου
τὰς ψυχὰς πάντων παρθενικῆς μερόπων.

πάντων δ' αὐγάζει πραπίδας τηλαυγέϊ ῥιπῇ,
    οἷα σεληναίης νύκτα φάος λιπαρόν.
οἷα δίκης φαέθων θάλπει γόνος ἀμφιφαείνων
    τὰς φρένας, ὡς αὐτὴ δῖα τεκοῦσα, βροτῶν.
θερμαίνει φιλότητι θεουδέϊ πυρσὸν ἰεῖσα
    ἔνθεον, αἷς τανύει βλέμμα φίλον κραδίαις.
οὕς δέ κεν αὐγάσσαιτο, σαοφροσύνης μέγ' ἔναυσμα
    αἶψα καταιθύσσει, καὶ πόθον οὐράνιον.
καί τε φιλοφροσύνῃσιν ἀειζήλοισι γέγηθεν,
    ἠδ' εὐεργεσίαις ταῖς μεγαλοπρεπέσιν.
σώματος ἀνδρομέου καὶ ψυχῆς αἰνὰ διώκει
    πήματ', ἀπημοσύνην ἠδ' ὑγίειαν ἄγει.
ναύτας ξυνὴ νήεσσιν ὀϊομένους θανέεσθαι
    σώζει ἁλιρροθίοις κύμασι πλαζομένους.
αὐτὴ ὁδοιπορέουσι μελίφρονα νόστον ὀπάζει,
    ἠδὲ ταλαιπώροις ἀγκομιδὴν φυγάσιν.
ἀσχαλόωντι φέρει παραμύθιον ἤπιον ἀνδρὶ
    πότνα, λύσιν γυίων τ' ἀμφιπεσόντι πέδαις.
ἀενάοις πιμπλῆσι κενοὺς χαρίτεσσι βρύουσα
    παντοίων ἀγαθῶν τοὺς θεράποντας ἑούς.
ἀλλὰ καὶ αὐτὸς ἔγωγε πρὸς αὐτῆς ἐσθλὰ πεπονθὼς
    μυρία, τῇ δ' αὐτὴν λάτρις ὀπιζόμενος,
ἀντὶ φίλων ἔργων, καὶ μειλιχίης ἐρατεινῆς,
    ἐφράσθην νύμφῃ κομψὸν ὕφασμα φέρειν,
εὐεργές, μουσαῖον, ὅτῳ φορέοιτό κεν αὐτὴ,
    ἅρμα τράχον πώλων νόσφιν ἀελλοπόδων.
οὔτις ἀλιτραίνων τόσον μακάρεσσιν ἀπεχθής,
    ὁππόσον ἀγνώμων, ἠδ' ἀχάριστος ἀνήρ.
κοῦφα βιβᾷ κραιπνῇσιν ἀειρόμενον πτερύγεσσιν,
    οἷά τ' ἀναΐσσων αἰετὸς ὠκυπέτης.

οὐ ῥοῖζον



οὐ ῥοῖζον πλήμυραι καὶ ἄντυγες ἐκτελέουσιν,
    οὐδὲ τροχοὶ δεινὸν φθόγγον ὑπαξόνιον,
ἀλλὰ ῥέοντα θρόον κραδίαις καναχηδὰ βροτείαις,
    ἦχον ἐναρμόνιον, καὶ κελάρυσμα γλυκύ.
ἔργα τόδ' ἤπυει κλεινῆς θαυμαστὰ μακαίρας,
    ὑψηλάς τ' ἀρετὰς ἡμερίων γλυφῇ,
οὕς κε διεξελάσῃ σὺν δίφρῳ σιγαλόεντι,
    γῆν τε κατ' εὐρεῖαν καὶ διὰ βένθος ἁλός.
οὔτι δ' ἐλινύον καὶ κωφὸν τόσον ἀνάσσῃ,
    ὅσσον φωνῆεν χρῆμά τ' ἐνεργὲς ἄδοι.
τοῖα δέ οἱ τελέθειν θυμήρεα μᾶλλον ὀΐω,
    ὅσσα νιν ὑμνῆσαι, παίτοσ' ἄγλυτ' ἐθέλει.
ὅσσα κεν οὐ τρύχει γῆρας πεπαλαγμένον ἄζῃ,
    ἀλλὰ δι' αἰῶνος θάλλει ἀκήρασια.
οὐδὲ γὰρ ἐξ ὕλης ταχυπότμου ταῦτα πέλονται,
    ἀλλὰ φρενὸς πυκινῆς ἔκγον' ἀειθαλέα.
ταῦτα δὲ χαλκεύει μελικόμπων τέκτονι μολπέων
    τέχνῃ δαιδαλέῃ ποικίλον ἦτορ ἐμοί.
τοιούτῳ δ' ἥρωες ἀγαλλόμενοι πεφόρηνται
    δίφρῳ, καὶ βασιλέων παῖδες ἐρισθενέων.
τῷ περ ἐπεμβεβαῶτες ἁλὸς διὰ λαῖτμα περῶσι
    πάντοσε, καὶ γαίης ἀμπελόεν πεδίον.
ἀλλὰ δέχευ βασίλεια μελίφρονι μήτιδι δῶρον,
    ἄρτι περ δοῦλος σεῖο τὸν ἡρμοσάμην.
οὐ γὰρ τὶ κρεῖσσον καὶ κάλλιον ἄλλο πέπαται
    οὔτι βαθύκληρος νῦν κτέαρ οἶκος ἐμός.
αἴθε δέ σοι δεῖμαι καὶ ἀνάκτορον αὐτὸς ἔχοιμι
    εὔδμητον δόξης ἄξιον ὑμετέρης.
ἐν δὲ μελησόμενον θέμεναι πολέεσσιν ἐναργέα
    βωμὸν ἀναίμακτον θῦμα κομιζόμενον,

ἀρνυ

ἀμνὰ τὸν ἀγλαὸν δνοφεροῦ κόσμοιο καθαρμὸν,
    ἀνδρῶν τιμῆεν λύτρον ἀτασθαλιῶν.
στῆσά κε τὴν χαλκοῖο τετυγμένον οὖλον ἄγαλμα,
    ἀστεϊ πειρήνης πρῶτον ὃς ἐξεφάνη.
στῆσα δ' αὖ ἄλλο κέδρου, καὶ χρυσοῦ παμφανόωντος
    δὴ τότε δαιδάλλων σὸν θεόσεπτον ἕδος.
ἀλλὰ δὴ ἡμέτερον νῦν δίφρον δέχνυσο νύμφη
    ἄμβροτε, καὶ θυμὸν τέρπε διφρηλασίῃ.
τῇπερ καὶ τέκνον μάλα τέρπεται, ὅττι καὶ αὐτὴ
    ἔπλεο λαμπήνη ἡγεμόνος μακάρων.
τύνη γὰρ βασιλῆος ὑπόπτερον ἐσσὶ φορεῖον,
    ἐσσὶ θεόδμητόν θ' ἅρμα θεοῦ μεγάλου.
τοῦ δ' ἀχερόντειον μέλλων ληΐστορα βάλλειν
    ἐξ ἀρχῆς προτέρης σῶκος ἄναξ ἐπέβη.
ἀμφὶ σέθεν σολύμων ἀνεβάλλετο θέσπιν ἀοιδὴν,
    φόρμιγγα κροτέων ποικιλόγηρυν ἄναξ.
τοῦ δὴ καὶ θάλος ἁγνὸν ἀφ' αἵματος εὔχεαι εἶναι,
    καὶ ῥίζης ζαθέης εὐπατέρεια κόρη.
δὴ γὰρ ὁ φορμικτὴς καὶ ἀοίδιμος ἔσκε προφήτης,
    καὶ μέγας αἰχμητὴς καὶ βασιλεὺς κρατερός.
ἔσθεν γουνῶ θυμῷ προτιόσσετο πρίν σε γενέσθαι,
    καὶ περὶ σεῦ μάντις πολλάκι πολλὰ σοφὸς
χρῆσε λύρῃ γλαφυρῇ θεσπίσματα θεῖα λιγαίνων,
    ἱμερόεν φαιδρὸν σεῖο πρόσωπον ἰδεῖν.
ἀλλ' οὔπω θεόθεν τὸ πεπρωμένον ἦμαρ ἵκανε
    τῇ παιδὸς γενεῇ πᾶσι ποθεινοτάτης.
οὐδέτι πω σοφίῃ θεολαμπὴς ἤθελες ἁβρὸν
    ἡμετέρου φορέειν ἀμφιπέτασμα χροός.
οὐδένυ τὴν κρατερὴν ἠεροΐδα ζηχέος ὕδρου
    συνθραῦσαι κεφαλὴν ἐν ποδὶ δεξιτερῷ.

τὴν



τὴν φρένα δ' ἠγαθέοισι παρηγορέεσκεν ἐπαίνοις
    μουνογενοῦς θ' υἱοῦ γειναμένης τ' ἱερατῆς.
καί που τὴν κλήζει ποτὲ μὲν γονιμώδεα γαῖαν,
    καὶ χέρσον καρπῷ βριθομένην χαροπῷ.
καί ῥα δίκην μήνης μονίμην εὐώπιδος ἕδρην,
    καὶ τρόπον αἰῶνός μιν θρόνον ἀΐδιον.
ἠέλιόν τ' ἀκάμαντά μιν αὐτὴν αὖτ' ὀνόμηνεν,
    καὶ γαμβροῦ θαλερὸν ἀθανάτου θάλαμον.
ἄμπελον ἀμφιλαφῆ θ', ἣν δὴ θεὸς αὐτὸς ἔνθηκεν
    γουνὸν ἐς εὐανθῆ μέμφιδος ἐκ συγερῆς.
καί που καὶ νηὸν δεδμημένον ἠεροΐνην
    εἶπεν ἀγακλειτῇ ἀμφὶ δικαιοσύνῃ.
αἴγλην δ' αὖθ' ἑτέρωθι φατίζεται ἀνδρὶ δικαίῳ
    τελλομένην, καὶ ὀρθοῖς χάρμα μέγα κραδίην.
ἄλλοτε δ' αὖ κλείει τερψίμβροτον ἠριγένειαν,
    ἠδὲ νάκος ψυχρῇ πρωκὶ διαινόμενον.
ἔστι δ' ὅτ' ἀργυρέαις κραιπνὴν πτερύγεσσι πέλειαν,
    καὶ νώτῳ χρυσέῳ φάσκεν ἀγαλλομένην.
ἄλλοτε δ' εὐμενίης στέφανον πλειῶνος ἐραννῆς
    αὐδάζει μεγάλου λειρόεντα θεοῦ.
ὄφρα δὲ δηλάῃ ζωῆς εἰλικρινὲς ἄνθος
    ἀργυφέης, ἐνέπει που νίφα λευκοφανῆ.
τὴν γε θεὸς διδοῖ ἀνθρώποις, ἅτε εἴριον ἕσσαι,
    ὥστ' αἰσχρὸν πυκάσαι γυμνὸν ἕκαστος ἐόν.
τοῖσι δ' ἔπι λιπαρόν μιν ὄρος θεόμοιρον ἔνισπεν,
    ᾧ κε θεῷ θέσθαι εὔαδεν αὖλιν ἑήν.
πρὸς δ' αὖτις θεόδμητον ἁλὸς βάθος οἶδεν ὑδείειν,
    ὄλβιον ἀνθρώπου δώματ' ὀπιζομένου.
οἶδε δέ μιν αὐτὴν ἱερὸν σκήνωμα καλέσσαι,
    καὶ τόπον οὗ σεμνὴ σκίμψατο πέζα θεοῦ.

λαρ-

λάρνακα δ' αὖτ' ἐνέπει κράτεός τ' ἀλκῆς τε δυνάστεω
οὐρανιδῶν, ὑπάτου τηλυγέτου πατέρος,
ἥκει, ὅπου τέκνον νεκύων τὸν ἀτερπέα χῶρον
ὀτρύνει προλιπεῖν μητρὶ σὺν εὐγενέϊ.
ὄρσο σὺ καὶ χηλὸς σέο κάρτεος ἀρχὲ δαΐφρον,
ὄρσο, καὶ εἰσέλασον εἰς ἀνάπαυμα τεόν.
οὐκ ἐπέοικε τάφῳ τιμαλφέα γυῖα κεκρύφθαι
σεῖο τέκος λιτρῷ, μηδὲ καλῆς τοκάδος.
πρὸς δὲ θεοῦ θρήνων διεφήμισε καλλιάνασσαν
μητέρα, ἣ θεῖόν φησι σέβασμα πέλειν.
καὶ κούφην νεφέλην δροσοειδέα, ἥν τ' ἀναβαθμὸν
θῆκε θεὸς σφέτερον, καὶ σκέπας ἡμέτερον.
κικλήσκει δ' ἑτέρωθι θεοῦ νιν χεῖρα κραταιήν,
τὴν μάλα πάντας ἀεὶ σῶσαι ἑτοιμοτάτην.
αὐτόματόν τε βροχήν, ἠδ' ὑετὸν ἀγλαόκαρπον,
τὸν θεὸς ᾧ κλήρῳ πιστὸς ἀφωρίσατο.
καί μιν ἀειθαλέος καλέει καλὸν ἔρνος γαίης,
ἐν τεγεῖ ζαθέῳ καρποφοροῦσαν ἄδην.
καὶ μὰν καὶ κλεινὴν φημίζει μάντις ἀμύμων
ἄστυ θεοῦ, τύρσιν τ' ἠγαθέην μεγάλου.
τὴν πεπολίσθαι ἔφη σὺν πάσης χάρματι γαίης,
δεινὰ φρυασσομένων δυσμενέων θορύβων.
αἰνῶς δ' ἐσκύζοντο ἀνάρσια φῦλα γιγάντων
σωθῆναι θνητῶν δυσσεβέων γενεήν.
οὐδὲ γὰρ ἠβούλοντο συνέστιον ἄμμι γενέσθαι
ἀλκτῆρ' ἀράων, καὶ θανάτου μέλανος.
καί ἑ διακρίνας τῶν ἄλλων ἐγγεγαῶτα
φῆσέν οἱ ὕψιστον κτίστορα τῆς πόλιος.
φῆσε δ' ἐϋρρείτου ποταμοῦ τὴν δ' οἴδμα γανῶσαι,
καὶ θεὸν ἐν μέσσῳ πάντοτε τῆσδε μένειν.





καὶ δὴ πολλὰ λελέχθαι ἀγάκλυτα ἀμφὶ πόληος
τῆσδε θεοκτίστου, καὶ περίσημα κλέα.
ἄστυ δὲ κινύμενον μεδέων τόδ' ὀλύμπιος ἔχεν
οὐρανόθεν καταβὰς ἐννέα μῆνας ὅλους,
ἡνίκα τὸ πρῶτον βροτοειδέα λάζετο μορφήν,
καὶ δέμας ἀνθρώπων δημιοεργὸς ἐών.
οὐδὲ μὲν οὐ θεοῦ ἔρνος, ἐπεὶ θόρε νηδύος ἁγνῆς,
μητρὸς ἐχωρίσθη ἀγχιθέου παράπαν.
καίπερ γὰρ σπλάγχνων ἑαυτῆς προμολόντα θύραζε
ἐς φάος, ἀγκὰς ἀεὶ πάγκαλον υἱὸν ἔχει.
οἷά περ ἐν γραπτοῖς ἰνδάλμασιν εἰσορόωμεν
παρθένον ἐν κόλπῳ κοῦρον ἔχουσαν ἀβρόν.
τῷ δ' ἀναριθμήτοις στρατιαῖς πεπυκασμένον ἅρμα
τήνδε διαρρήδην θέσκελος εἶπε λόγος.
ὅττι κόρη χαρίεσσα μετ' ἀγκαλίδεσσιν ἀείρει
αἰὲν ἑὴν γενύνην ἀμφιβαλεῦσα φίλην.
εἶπε δὲ μυριάδων πλεόνων ὄχον εὐθυνόντων
θεῖον, ὅτι πλείστους πρὸς θεὸν αὐτὸν ἄγει,
εἰς χορὸν οὐράνιον κεχαρηότας, ὥστε βιῶναι
πάντα θεοκλήτοις ἐν θαλίῃσι χρόνον.
οὐχ ὅτι δ' αὐτὸς ἄναξ ἰδίην ποιήσατ' ἀπήνην
τῆμος, ὅτ' ἐκσῶσαι κόσμον ἀλιτρὸν ἔβη,
ἀλλ' ἀρχῆθεν ἑήν, ἐξ οὗπερ θεῖον ἄωτον
παμπρώτιστον μήτηρ γείνατο θηλυτέρων.
ἐκ τοῦ δ' οὐρανιδῶν στρατὸς ἄσπετος εἵπετο κούρῃ,
μητέρι κρείοντός γ' ἐσσομένῃ σφετέρου.
οὐδέτι σίνεσθαι θεομήτορα φρικτὰ δύναντο,
οὐδὲ μὲν αὐτὰ βλέπειν φῦλα θεοστυγέα.
ἃ ψυχὰς δειλῶν μερόπων λυμαίνεται ἄλλων,
βλώσκοντ' ἐξ ἐρέβευς, δειμαλέων τε μυχῶν.

τὴν δ' ὄχος ἐξετύπου φλόγεον, τόπερ ἄνδρα προφήτην
οὐρανοῦ εἰς σταθμοὺς ἦρεν ἐρημοπόλον.
ὡς γὰρ ἐκεῖνο θέρον μαλεραῖς δαίδαλμα φλόγεσσιν
ἀνδρὸς ἑνὸς κεφαλὴν νειόθεν ἦγεν ἄνω,
τὼς Μαρίη ζείουσα πολέας ἀγαπήσιος ἀκμῇ
εἰς πλάκας οὐρανίους θερμοτάτη μετάγει.
τοῦτο δέ που φράζει, τὸ παλαίφατον εἴσατο φάσμα
πατριάρχῃ πιστῷ κλίμακος ἠγαθέης,
τῆς βάσις ἠπείρου, κορυφὴ δέ οἱ ἥψατ' ὀλύμπου,
καὶ θεὸς ἀκροτάτῃ ἧν ἐπερειδόμενος.
αὐτὴ μέν τε πέφυκε δι' ἧς θεὸς οὖδας ἱκάνει,
χ' ἡμεῖς αὖτ' αἰπὺν θῶκον ἐποιχόμενοι.
οὐδενὶ πρὶν βλαστεῖν τὴν παρθένον ἀγλαόκαρπον
ἄμβατος ἦν ἡμῖν βηλὸς ἐπουράνιος,
ἀλλ' ἀστεμφὲς ἔην πυκιναῖς κλήϊσιν ἀρηρὼς,
ἐξ οὗπερ κούρη ἤλιτεν ἀρχέκακος.
τὴν περ ἔπλασε θεὸς ὁμοδέμνιον ἔμμεν ἀρωγὸν
ἀνδρομένης πλευρῆς ἠϊθέῳ προτέρῳ,
καί τε παρὲξ ὕδρος νόον ἤγαγε ποικιλόνωτος·
τῆσδε, καὶ εἰς αἴγλην ἔτρεψεν ὑπερβασίην.
ἴθμα κράτει μεγάλοιο τότ' ἔντυεν ἡγητῆρος
λῆμα καλῆς Μαρίης, ἡνίκα νεκτάρεον
ἀμβροσίου στόματος θεοκύμονος ἀγγελιώτη
ὠδῖνος πίσυνος τοῖον ἀνῆκεν ἔπος.
ἠνὶδ' ἐγὼ δμωὶς ταχυπειθὴς κραντῆρος εἰμι
ἀθανάτων. τελέθοι μοι κατὰ ῥῆμα τεόν.
καὶ τότε δὴ πατρὸς παντάρχου φαίδιμος υἱὸς
κόλπον ἐς εὐώδη ἤλατο παρθένιον.
ἡ δ' ὑποκυσαμένη θεὸν ἀρρήτοισι γονῇσιν,
ἄνδρα θ' ὁμοῦ διφυᾶ γείνατο κοῦρον ἐόν.

ὡς



ὡς κεῖνον ἀμφύει γουνὸς πάλλευκον ἀλωῆς
πίονος, εὔοδμον καὶ ῥόδον ἦρος ἀκμῇ.
τῇδε βροτοῖς ἐπέλασσε τὸν ὄρχαμον ὑψιμέδοντα,
ἠδ' αἰώρησεν φῦλα χαμαιπετέα,
καὶ ποίησε θεὸν βροτοειδέα γυῖα φορῆναι
ἀθάνατον, χθαμαλὸν δ' ἐξεθέωσε γένος.
καὶ αὐδεύει μετέπειτα προπρηνέας αὖτις ἐγεῖραι,
ὥσκεν ἄνω νεύειν μηδὲ κάτω πεσέειν.
οὐδὲ γὰρ οὐ λήγει σφοῖς θαύμασιν ἦτορ ἀτειρὲς,
οὐδὲ λόγοις ἀγανοῖς θελγέμεν ἡμέτερον.
οἷα μάγνησσα λίθος τὸν ἀπλωέα χαλκὸν ἐφέλκει,
τὼς ἕλκει Μαρίη πρὸς θεοῦ ἄστυ βροτούς.
ἴστε τί πᾶσι σάφα πιστοῖς λαοῖσιν αὐτεῖ,
ἴστε δ' ἆσμα κλυτὸν κεῖνο διαπρύσιον.
αὐτὴ ἐγὼ μήτηρ ἀγάπης περικαλλέος εἰμὶ,
εἰμ' ἀλκῆς φοβερῆς καὶ ζαθέου μεγέθους,
εὐπορίης θ' ἁγίης, πάντ' ὄλβια δῶρα δίδωμι
οἷσι κε θέλω, πάσας δ' ἀμφιέπω χάριτας.
ἀτρεκίης φράζω ζωθάλμιον οἶμον ἀμεμφέος,
ἐλπίδα τῆς ζωῆς, ἠδ' ἀρετῆς παρέχω.
δεῦτέ μοι ἱέμενοί με μετέλθετε πάντες ὁμαρτῇ,
ὕμμε τ' ἐμῶν καρπῶν πλήσατ' ἀειθαλέων.
ἡμέτερον δὲ πέλει μέλιτος πολὺ ἥδιον ἦτορ,
πουλὺ μελισταγέων λαρότερον σχαδόνων.
τοῦ μὲν ἀεισοπόνων παραμείβεται ἔργα μελισσῶν
ξηρὰ λάχος θ' ἁβρὸν, καὶ κτέρας ἁρπαλέον.
μνῆμα δ' ἐμὸν μελιηδὲς ἐνὶ στήθεσσι φυτεύει
θερμὸν ἀειμνήστου ζωπύρειον φιλίης.
ὅσσοι τρώγουσί μ' ἔσθειν πάλιν ἵμερος αὐτοὺς,
ὅσσοι πίνουσιν, δίψα πάλιν κατέχει.

 ὅς δ'

ὅς δ' ὑπακούσηταί μ' οὐκ αἰσχυνθήσεται ἀνήρ.
　ἀμφί με ποιπνύων οὐκ ἂν ἀλιτρὸς ἔοι.
ὅσσον ἀνυμνήσῃ κυδαίνων εὐκλέα κούρην,
　τόσσον ἐπαυρήσει γ' ἀϊδίου βιοτῆς.
οἵη τ' ἐν λιβάνου εὐδειέλου ὑψιπέτηλος
　κέδρος ἀνυψώθην δειράσιν ἠλιβάτοις.
καὶ βλωθρὴ κυπάρισσος ἀειρομένη κατ' ἀερμοῦ
　στεφόνας εὐδένδροις κωνοφόρῳ κορυφῇ.
χ' ὡς νεαρὸν θίνεσιν ἐν ἀγκάλοισιν ἀνέχον
　φοίνικος ῥαδινῆς πρέμνον ἀνερχόμενον.
οἷά τ' ἀναΐσσει φιαραῖς γανόωσα ῥοαῖσιν
　εὐμήκης πλάτανός γ' ὑγρῇ ἐν εἰαμενῇ.
ἱμερτοὺς ἐτάνυσσα βραχίονας, ἠΰτε κῦρον
　αἰθέρι τερμίνθου δένδρεον ἀστροφαεῖ.
ὡς δ' ὁπότε κρήνης ὅθ' ἅλις ἀναβέβρυχεν ὕδωρ
　λευκὸν ἀναβλύζον χώρῳ ἐν οἰοπόλῳ,
εὐπρεπέος τρέφεται γλαυκόχροος ἔρνος ἐλαίης,
　εὐκραέων αὐρέων τὴν κλονέουσι πνοαί.
καί τε βρύει πάντη ἐστεμμένη ἄνθει λευκῷ,
　τοίη ἐν ἀνθρώπων ἀμφιτέθηλα φύσει.
οἵη θ' ἡβώωσα χάριν βλάστησα προσηνῆ
　ἡμερίς, εὐκλείης δ' ἄνθεα καρπὸς ἐμά.
φυταλιῆς τε δίκην καὶ φοινικανθέμου ὥρην
　ἔαρος, εὐόδμου λαρὸν ὄδωδα ῥόδου.
καὶ ῥα δίκην στακτῆς, σμύρνης τ' ἀπὸ τερπνὸν ἀϋτμὴν
　ἧκα, θύει τ' ὀδμὴν, ἀσπαλάθου θ' ἑδανοῦ.
ἀλλά μοι ἱλήκοις κεδνὴ νύε, δὸς δὲ βιῶναι
　μακρὸν, ὅπως εἴρω κρατὶ τεῷ στεφάνοις,
τῷ πολυτιμήτῳ πλέξας παμποίκιλα ἄνθη,
　φημὶ δ' ἀοιδάων δαιδαλέων χορείας.

ὡς ἂν



ὡς ἂν τέρμα κιχὼν θνητοῦ βιότοιο δυναίμην
　τόνδε λέγειν χριστῷ παμμεδέοντι λόγον.
κύριε σοὶ μεγάροιο θεοπρεπῆ ἀμφαγάπησα
　ἀγλαΐην, χῶρον στῆς τε μονῆς ἅγιον.
μὴ δὴ ἅμ' ὑβρισταῖς μοι ψυχὴν ἐξαπολέσῃς
　ἀνδράσι, μηδὲ βίον σὺν φονίοισιν ἐμόν.

Ἀείδω μυρίην χρυσόθρονον, ἣν τέκεν ἄννη,
ἣ χάρις εὐώδεος κούρην χαρίτεσσι βρύουσαν,
ἀθανάτων βασίλειαν, ὑπείροχον εἶδος ἔχουσαν,
πατρὸς ἐπουρανίου νύμφην, καὶ μητέρα τέκνου
κυδρὴν, ἣν πάντες μάκαρες κατὰ λαμπρὸν ὄλυμπον
ἀζόμενοι τίουσι, καὶ ἀνθρώπων κλυτὰ φῦλα.

# ΥΜΝΟΣ ΕΙΣ ΤΗΝ ΠΑΝΑΓΙΑΝ θεοτόκον, φάσκων εἶναι αὐτὴν ἁπασῶν τῶν παρθένων ὡραιοτάτην, καὶ πολυώνυμον.

στροφὴ, α'. κώλων ιβ'.

Ἤθελον νῦν μοι παρεῖναι
ἀενάοιο χρόνου
τὰν θυγατρῶν τὰν πρωτέραν,
δι' ἂν ὥραν μελπομένῳ λιγυρὸν κῶμον
ἀνθέων σὺν κόμαις παμποικίλοις.
ὡραιοτάταν γὰρ ἔγωγε παρθένων
ἀπύειν μέλλω μαρίαν θεοτό-
κον, θεοῦ κεδνὰν τεκοῦσαν ἀμβρότου,
ἵμερον οὐρανιδᾶν,
χάρμά θ' ἁγνὸν, κῦδος ἐπιχθονίων,
κλεινᾷ πολυωνυμίᾳ
ἀνθέοισαν.

ἀντίστροφος, κώλων, ιβ'.

κλείεται δ' ὡραῖα πάντα,
ὠρανὸς ὅσα φέρει,
ὅσα τ' αἰθὴρ ἀτρύγετος,
ὅσα πόντου βένθος ἔχει βαθυκρήμνοιο,
οἱ δένδρε τε νῶτον ματέρος.

εἰ γὰρ



οὐ γὰρ φέρεταί τι καλὸν καὶ φαίδιμον,
οὐδὲ σεμνόν ποι θαλερόν τε φύει,
τῷ κε μὴ κλεινὰ κόρα συμβάλλεται:
ἀλλὰ χέλυν γλαφυρὰν
θυμέ μοι μάρψον, χάρις εἴ τι νόου
θάλπει σ' ἀγανᾶις μελέταις,
ἤδ' ἰαίνει,

ἐπῳδὸς, κώλων ιε'.

φαινέμεν οἷσκε χρέεσσι
ταῖσδε συμβληταὶ χορὸς
τεῦξαν ἀοίδιμος ἀνδρῶν,
οἳ πάλαι θεσπίσματ' ἔχοισαν ἄδην,
πρὶν θάλος ζωᾶς θιγεῖν, κα-
πιχρόνῳ θεοπρεπές.
ταῖσδ' ὧν ἐλάτᾳ θυοέσσᾳ κεδρίνᾳ
φαῖτ' ἐν ὑψηλῷ λιβάνῳ
τεθαλυίᾳ προσφερῆ,
προσφερῆ γλαυκόχροϊ δένδρῳ ἐλαίας,
τὸ πεδίῳ θαητὸν ἀνθεῖ,
καὶ θερειλεχεῖ ῥοαῖσιν
ἀρδομένᾳ πλατάνῳ.
κυπάρισσον φαῖτό τέ νιν,
τανύκομον φοίνικά τ' ἔμμεν.

στροφὴ, β'. κώλων, ιβ'.

ἀνθέων δ' ἄλλοι φερώνυ-
μον θέσαν ἐκπρεπέων.
καί σφε χρυσαυγῆ σοφίας
εἵνεκα κλείουσι κρόνον. δίᾳ δ' ἄχραντον
μίτραν, ἄργυφον καλλίειρον.
ἦρος τό τ' ἄγαλμα ῥόδον χρυσανθέμου,

πυρσὸν

πυρσὸν αἰνίαστον καπυρᾶς ἀγάπας,
ᾇ ζέει θείας μάλ' ἦτορ παρθένου.
αὐτὰρ ἴον κυαναυ-
γὲς τὸ κείνας λῆμα χαμηλὰ πνέον,
συγγναῖς ὑπεραφανίαις
αἰὲν ἐχθρόν.

ἀντίστροφος. κῶλ. ιβʹ.

οὐδὲ μὲν λίθων διαυγέων
ἄμμορον ἰῶ τὸ γένος
τᾶσδε τιμᾶς ἀγαθέας.
ἀλλὰ γὰρ κλειτωνυμίᾳ πολέων χαίρει
χλωρωπὸς δ' ἴασπις κλήζεται,
πίστιν δι' ἐνοῖσαν ἀειθαλῆ φρασὶν
ἀγλααῖς αὐτᾶς, διαλειπομέναν
οὐδ' ὅτ' ἰκελίῳ θάνεν βεβλαστόος
ὀκρυόεντι σταθεὶς
παῖς θεαγενής. ὑάκινθος ἀκού-
ει δ' αὖτε δι' οὐρανίων
ἐλπίδ' ἐσλῶν,

ἐπῳδός. κῶλ. ιεʹ.

ᾇτε μέμαλεν ἐσαεὶ,
καίπερ ἀτλάτοις πάθαις,
ἤδ' ἀχέεσιν ἀλοῦσα.
ὡς ὅτ' αἴγυπτον μόλε σευομένα
σὺν βρέφει θ' ἁγνῷ, καὶ ἀνδρὶ
φιντάτῳ, περιπόλιον
τόνπερ μέρος ἁλικίας ἤδη κίχεν.
ὅτι δ' ἔρως δαίει μαλερὸς
μυρίας θεία φλογὶ
θεοφιλῆ ψυχὰν ἐρασιπλοκάμοιο,

καλέο-



καλέομες θνατῶν τὸ φῦλον
ἄνθρακ' αἰγλάεντ' ἄνασσαν,
σαρδόνυχ' αἱμαλέαν
διὰ κλεινοῦ μαρτυρείου
καλέομες δόξαν μιν αὐταν.

στροφ. γʹ. κώλων, ιβʹ.

ἐνδέ οἱ αὐτᾷ τόπαζον
στικτὸν ἀναπτόμεθα
κυανοῦν χρυσαῖς φολίσιν,
ἐν δ' ἐς αὖ ὄψιν τὰ πέριξ περιξωπῶντα
λᾶαν παντ' ἅδην λειμωνίδα.
καὶ τὸν μὲν ἕκατι καλᾶς θεωρίας,
τᾶς πτερόεις ψυχὰν μακάρων πρὸς ἕδρας
ἄγειν αἰπεινὰς, θεοῦ θ' ὁμάγυρειν.
τὸν δὲ δι' ἀγλαΐαν
τὰν κορείας, ἀφθορείας τε σέλας.
οὐ μᾶνον ἄρ' ἔξεχεν ἄλ-
λαν θεοπτίᾳ,

ἀντίστροφ. κῶλ. ιβʹ.

ἀλλὰ καὶ ἄγηται ἁγναῖς
παρθενίας ἀρετᾶς,
εὐθαλεῖς σπινθῆρας ἀπὸ
κυκλόσε στράπτοισα τρόπον σμαράγδου χλωροῦ,
εἰς κόσμοιο παντὸς πείρατα.
τὰν νιν βασίλειαν ἀγαυᾶν παρθένων
κλείομεν, ζωᾶς ὅτι γ' ὁπλοτέραις
τᾶς δ' ἔναυσμ' ἱερὸν πόρεν παροιτέρα.
χρυσόλιθον δ' ἐνέπο-
μές μιν αὐτὰν σπινθαρύγεσσι λιαν-
θῆ, καὶ κυανῶπιν ἁμᾷ

H τοῖσδε

τοῖς δὲ σαπφει-

ἐπωδ. κώλων ιε΄.

ρον τὸν ὁμόχροον αἴθρα
ὀρφανὰ πάμπαν νεφέων.
τὸν μὲν ἕκατι θεοπνεύ-
στοιο ῥήτρας, ἠδὲ διδασκαλίας,
τᾷ κατάθυστε φρένας τὰν
πλατίον μένος ἐνι-
στάζοισα λόγοιο, καὶ ὀμφᾶς χείλεσιν
ἐνθέοις πυρσοῖς ῥοδέοις.
πλάκα σαπφείρου γε μὰν
ἄνθεμεν δία θεομάτορι κούρα
εὖ μάλ', αἰνίσσοντες αὐτᾶς
εὐδίαν ψυχᾶς ἀχράντου,
τᾶπερ ἔτερψε πόσον
κέαρ ἄῤῥητον μεγάλου
ὡς θεοῦ δίφρον γενέσθαι.

στροφὴ, δ΄. κώλων, ιβ΄.

πρὸς δ' ἔθ' ἵλα ταὶ δ' ἰδοῖσα
οὐρανίων μακάρων
εἰς θεοῦ βᾶμεν θαλάμοις,
ὀλβίαν τ' αὐλὰν ἀμαρύγμασι παντοίοις
στίλβοισαν καὶ ὅρμων ἀστραπαῖς
τόκνῳ ποτερειδομέναν φιλάνορι,
θειάσαισ' εἴδευς τόγε χρῆμα νέον,
αὐτολᾶτ' αἰοῖς ῥοδόχροος βοᾷ,
ἠεροπόλα τε κλυτᾶ,
καὶ σελαναία λιπαρᾷ παρεστα-
θῆμεν χαροπαῖς ἀμαρυ-
γαῖς προσώπου.

αν-



ἀντίστροφος, κώλων, ιβ΄.

τὶ γὰρ ἐρῶ καὶ χρυσοφεγγὲς
ἀελίοιο βλέπειν
ἐννεοὶ φθέγξαντο μένος
πότνιαν, τοῖόν τε σέβας ποτιδεῖν οὔπω
ἰφθίμαν δ' ἄθρησαν ματέρα
δόξας φλεγέμεν τελέας, χ' ὑπερφάτου.
πῶς δ' αὖτ' εὖν θαμβαλέοι μάκαρες.
τίς ῥ' ἕδος βαίνει, τίς ἀπὸ οὐρανοῦ,
ὡς ῥοδόπαχυς ἕως,
ὥστε μήνα πλησιφαὴς χαροπά;
ἐξαίρετος, ὡς φαέθων
πῦρ δεδορκώς;

ἐπωδ. κώλων, ιε΄.

πέπλον ἕεσσο γὰρ αὐγᾶς
ῥεῖα τηλαυγέστερον
ἁλιακᾶς πυρέσσας.
καὶ θεόδματος στέφανος πολυτε-
ρὴς φιλαγλάου φαεννὸν
κρᾶτα κόσμει κόρας.
κόσμον τίς αὖ ἀγλαογύου σκάνεος
τὸν ἐπίλοιπον γλῶσσα δύναι-
το φράσαι, τίς δ' ἐκπρεπὲς
εἶδος ἐξειπεῖν, θεοειδέα θ' ὥραν;
ἀδύνατον θνατοῖς πρόπασι
τοῦτ', εὐγλώσσοισπερ οὖσι,
χρῆμα, καὶ ἀθανάτων
κατ' ὄλυμπον ναιετάοι-
σιν ὁμάδοις τιμαλφέεσσιν.

 στρο-

στροφὴ ε΄. κώλων, ιβ΄.

ἀλλά μοι μέλος τὸ λοιπὸν
δαιδαλέα χαρίεν,
ὀξύφαινε λοιπὸν ὕμνον
εὐαγῆ φόρμιγξ ταχέως, λέγε ποίοις σὺν
οἰωνοῖς ἄνασσα κρίνεται,
ποίων θ᾽ οἱ ἐπωνυμίαν θεοφραδεῖς
ἅρμοσαν φῶτες. καλέουσι δέ μιν
ἀρχὸν ὀρνίχων αὐτὸν ἄλκιμον.
εἵνεκα ταῖν πραπίδων
ὀξυδερκέων, ὑψιμέδοντα θεὸν,
ὡς αἰετὸς ἀελίου
φῶς, ἀθρεισᾶν.

ἀντίστροφος, κώλων, ιβ΄.

καί νυ καὶ μύσταις παλαιοῖς
εὖ μάλ᾽ ἔδοξε φυᾷ
ἐμπρέπειν τήνας ὄνυμα
τοῦτο γυναῖον διὰ δεαποσύναν τιμάν.
ὥσπερ γὰρ πετεινῶν ἁγεμὼν
αἴθων φλεγύας μεγαλοπρεπὴς πέλει,
τὼς κράτος πάντων μυρία θεόπαις
ἔχ᾽ ὀλυμπίων, βροτῶν, καὶ νερτέρων,
παμμεδέοντα θεὸν
εὖτ᾽ ἀνῆκεν γαστέρος ἐκ πολιᾶς,
σωτῆρα βροτῶν ταχυπότ-
μων ποθεινόν.

ἐπῳδός. κώλων, ιε΄.

οὐδὲ μὲν οὐ τόδ᾽ ἀφανερὸν,
φάσθαι ἀγαυὰν παρθένον
ταί δ᾽ ἐπίκλησιν αἰδυρεῖν,





ὅτι δὴ δῆριν κρατερὰν μελετᾷ,
καὶ μάχαν χρύσασπις αἰνὰν
ἀμφὶ τοῦ θεοσεβεῖ
λαοῦ ποτὶ δαιμονίων φῦλον βαρὺ,
τῶν διαρραῖσαι γυῖαν
μεμαώτων θέσκελον.
καί μιν ἀμβρεῖψαι προθέλυμνα δαμεῖσαν.
τοῖον ἀσκεῖ γὰρ καὶ ἐσθλὰ
ὠκέων πλανῶν ἑοῖσιν
νεῖκος ἐπ᾽ ὀρταλίχοις
ὀφίων λυγρῷ σὺν ἔθνει,
καὶ δρακοντείοις πελώροις.

στροφὴ, ς΄. κώλων, ιβ΄.

εὐαγέων κράντειρα φύτλαν
κυδιάνειρα βροτῶν
ἀμφέπει, μᾶλλόν τ᾽ ἀγαπᾷ,
ἢ φιλόστοργος γυνὴ τεῖρα τιθήνα τοὺς
τοὺς αὐτᾶς γόνοις, καὶ θρέμματα.
ὅστις γὰρ ἀμύμονα τέκνου νηπιακῶς
τέθμον αὔξει, ματέρος ἐντὶ τέκος.
οὐδ᾽ ἂν εἴρεσθαί νιν ἀγνοεῖν τινὰ
μυστιπόλων οἴω
ξυγόν αἰδοίαν, ταχινάν τε πέλει-
αν, σωφροσύνας θ᾽ ἕνεκεν,
καὶ στεναγμῶν

ἀντίστροφος, κώλων, ιβ΄.

πενθίμων, τοὺς ἔχε κούρα
ἀτειτάλαινα βαρεῖς,
ξυγόνος δίκαν, μετὰ πότ-
μον διώλεσον τέκεος πολυθέστοιο.

οὐ ζυγῶν γὰρ ὄρπακος ἐπὶ
χλωροῦ πόσιος φίλου ἐστερημένα,
οὐδ' ἀφύσσει πίδακος ἐκ φιαρᾶς,
ἀλλ' ἄλαστόν τι στένει, καὶ φθέγγεται,
τοῦ νιν ἄγροισα βίον
τοῦ νέτου μίμνει φίλου, αἰὲν ὕδωρ.
πίνει θολερόν, μεθέπει δ'
αὖα πάντα,

ἐπῳδ. κώλων, ιε'.

ὃν ποθέοισα συνεύνον.
παρθένος τοῖον βίον
εἵλετ' ἀριστοτόκεια.
ἱμέρῳ γὰρ τακομένα ζαφλεγεῖ
νυμφίου, τέκνου τ' ἀρίστου
τῆλ' ἀπεῖχε θαλιᾶν
πασᾶν, παραμύθιον οὐδὲν δέξατο.
στόματι δ' εἴπεσκε δροσερῷ,
λέγε μοι, μοὶ μάνυε,
εἰ δ' ἄγε ψυχᾶ πεφιλαμένε τᾷ 'μᾷ,
περσφιλές τ' ὄασοις φάος μου,
πᾷ μεσαμβρινῷ νομεύεις,
πᾷ θέρει ἐνδιάεις.
κατόπιν τοῦ μ' ἕλκε τάλαι-
ναν πόθῳ τετρωμέναν κῆρ.

στροφ. ζ'. κώλ. ιβ'.

πολλὰ μὲν καὶ ἄλλα ζυγῶν
νύμφα ἔοικε θεοῦ.
ἅδε γὰρ καιρὸν θαλεροῦ
ἦρος ἀγγέλλει τὰ ἐπηλυσία τὰ σφᾷ,
ἀγγέλλει δ' ἀτερπῆ ἄματα

χειμῶ-



χειμῶνος ἀπῃθεμένα ἤδη τραχέος.
τοῦτο δὴ πρᾶξεν μύρια θεότης,
ἀνίκ' εἰς κόσμον γεγῶσ' εἰσήλυθεν.
μάνυε φρικαλέαν
γᾶν ἀπιστίαν προλιπεῖν ψαφαράν,
πίστιν τε βροτοῖς ἐπιδα-
μεῖν ἐραννάν.

ἀντίστροφ. κώλ. ιβ'.

ἄδεται ζυγῶν ἐν ὕλαις,
πρηόσι τ' ἀκροτόμων
συνεχὲς ζώοισ' ὀρέων.
ἅ γε μὰν ὄρνις φιλέρημος ἑοῖσ' ἀνθρώ-
πων τ' ἔχθει πάτον καὶ ἄθεα.
οὔπω δ' ἀλέεινε τὸν ὄχλον πότνια
τὸν βέβαλον, καὶ φρέν' ἄειρεν ὑπὲρ
τοῦ πτερὸν σταθμῶς μονήρης ὠρανοῦ.
τουτάκι δεῖξεν ἑοῖ
τοῦτ' ἀδεῖν ὕψος μάλ', ὅκ' ἦλθε περὶ
τὰν γαῖαν ὀρειοτέραν
αὖ ξυνώαμον,

ἐπῳδ. κώλ. ιε'.

ἀλιβάτοις ἐς ὀρόγκοις
ἁ νεᾶνις σὺν θεῷ,
τὸν φέρε γαστρὶ παγγενέτα.
φαντὶ δ' οἱ δεινοὶ περὶ ταῦτα νεοσ-
σοὺς ἑοὺς ὄρνιχα τάνδε
νυκτὸς ἐκτρεφέμεναι.
οὕτως ἰδίους θεράποντας παρθένος
νέμει ἐν αἰῶνι δνοφερῷ,
κομέει θ' υἷα βρέφη,

οὐδὲ

οὐδὲ μὲν ξυγῶν κρέας οἶδε πάσασθαι
κενόβιόν τι καὶ τεθνακός.
ὧδ' ἄνασσα πᾶν τι δόγμα
στρεβλὸν ἀποστρέφεται.
πρὸς ἐπαρείας ἑτέρων
ὀρνέων ξυγῶν ἑτοῖμα,

στροφ. η'. κώλων, ιβ'.

καὶ κόρα καμοῖσ' ἀεικὲς
πολλὰ πονηρὰ πάθεν.
καὶ γεμαὶ ξυγῶν κόρακας
οὐ φιλεῖ λάβρως, φιλέει δέ τε ξάρωνας,
ὧς στέργει σεμνὰ μάτηρ ἀφε-
λῶν φῦλον, ὑπερφιάλοις δ' οὐ τέρπεται.
καὶ πελειάδων τι φυᾶς ἔλαχεν.
πρῶτα μὲν ζώει στερεῖσ' ἀδευκέος
πάγχυ πέλεια χολᾶς.
πικρίας δ' αὐτὰ. συφελῶν τε ξόπων,
ὀργᾶς τε παλιγκότοιο
ἰοῦ ἄμοιρος,

ἀντίστροφ. κώλων, ιβ'.

οὐδὲν ἀζηχὲς μελιχρὰν
σκυζομένας καρδίαν,
οὐδ' ἀμείλικτόν ποτ' ἔδυ,
ἀλλ' ὑπὸ κηρεξεφέων μερόπων θάλλε
νύμφα πραΰμητις καὶ προσα-
νής, λειριόεν χαρίτων ἁβρὸν φυτόν.
ὀρθὸν ἀτεράμων, καθαρόν τε βλέπον
δέργμα χλωραύχην φυᾷ τι λαγχάνει,
τοῖα νοήματ' ἀεὶ
ἁ θεοῦ κεδνὴ κλυτόκαρπος ἔσω

σταθέων



σταθέων νυὸς ἀδυπνόων
εὐρυτίμου.

ἐπωδ. η'. κώλ. ιε'.

πῶς γὰρ ἄδοι βασιλῆϊ
οὐρανοῦ πανδερκέτᾳ
ἁγνοτάταις παρατίδεσιν
χοῖσα θερμὸν ζᾶλον ὀπιζομένα,
νωλεμὲς πάμπαγνε, πίλνα δ'
οὔποκ' οὐδεϊ νόον.
μώνα γε μὲν οἶδε φιλεῖν πλανῶν ἐὸν
εὐνέταν σώφρων δίγονος.
μυρία δ' εὐώλενος
θεῦ πύρῳ στοργᾷ ποθέεσκε φίλαμα.
φαμὶ δ' ἵμερτὸν δυασμὸν,
τῷ θεοῦ ἕκας τέτυκται,
καὶ χέθεν εὖγμα καλόν.
κύσε γὰρ κρείοντα θεὸν
διφυᾶ ἐν σάρκῳ γενέθλα

στροφ. θ'. κώλ. ιβ'.

τοῦτ' ἀείζαλον φίλαμα
τηλόθεν ἑσταότα
εἰς μίαν κολλῆ φιλίαν,
περιξενεῖτ' εἰς ἀριθμὸν ἓν ἀλλόκοτ' ἀλλάλοις
φῦλα, περιξενεῖτ' ἀλλόθρεα.
θνατοὺς μακάρων τ' ὀαριστὰς θήκατο.
ζεῦξε τὰς χέρσου πλάκας οὐρανίοις.
φέρτατον δ' ἁμῖν ὀλύμπου κοίρανον.
τάνδε πέλειαν ἁγνὰν
νύμφιος βάστρησεν ἐπ' αἰθερίαν
λᾶξιν μετὰ τὰν καματώ-

δη βιῶναι.

ἀντίστροφ. κῶλ. ιβʹ.

ὄρσο δὴ νῦν ὦ φίλα μου,
δεῦρο μέλημα γλυκύ.
ἐλθέμεν τέρεφον ἐρατά.
στυγνὸς ἤδη γὰρ κατὰ γᾶς κατέβα χειμών.
ὄμβρος δ' αὖτ' ἀτερπὴς ᾤχετο.
φοινικορόδοις ἔαρ εὔοδμον φόβαις
χρύσεον στίλβει, φυτὰ νεκτάρεα
φύλλα τίκτουσι, καὶ αὐγὰς αἰθέρων.
ἐν χλοεραῖς δὲ θροεῖ
αἰόλον βάσαις λιγύφωνος ἀη-
δὼν, ἀμφὶ νάπαις στένει ἀ-
δεῖα ζυγῶν

ἐπῳδ. κῶλ. ιεʹ.

ἁμετέραν κατὰ χέρσον.
τοῖς ὀλυώθοις συνκέα
ἁ γλυκύκαρπος ἔφυσεν
ἄνθορος πόρθοισιν ἑοῖς μελιτό-
εντας, οἰνάνθαι γλυκεῖαι
δῶκαν ἀδύπνοον ὀδ-
μὰν, ὄρσεο δῖα κόρα, τέρεφον καλά.
σᾶς γ' ὀπωπᾶς ἀμπέτασον
ἐρόεσσας μοὶ χάριν
λείριον, φωνά σου ἐν ἁμετέροισιν
οὔασι φθέγξαιτ' ἀδοίσας.
νήδυμος γὰρ σεῖο φωνὰ,
καὶ μελίγαρυς ἔφυ.
ἀγανῶπις δ' ὄψις ἁπα-
σᾶν ἀριστεύει γυναικῶν.

στρο-



στροφ. ιʹ. κῶλ. ιβʹ.

ἁ προτέρα ποτ' αὐτᾶς
ἐξετύπωσε φυὰν
αἴσιος, τὰν δουρατέας
λάρνακος πρέσβεις ἀνενείκατο πατριάρχας
πιστὸς, γᾶν μέλαιναν τανίκα
παντᾶ σθένος ὑδατόεν κατέκλυσεν.
ἦ γὰρ ὡς τήνα παλίνοστος ἐλεῖν
ἄντλον ἄμπωτιν βροτοφθόρον φράσε,
καὶ θεὸν ἀμεροῖς
εὐμενέειν λοιπὸν, φρονέειν τε φίλα.
θαλλὸν νεόδρεπτον ἐλαί-
ας φέροισα,

ἀντιστροφ. κῶλ. ιβʹ.

χρίσματος ματρὸς πανάγνου.
ὧδε κλυτὴ μυρία
ἔσκεν εἰράνας ἀγαθᾶς
ἄγγελος, σπονδᾶς τε θεοῖο διαλλαχθέν-
τος θνατῶν ταλαιπώρῳ γένει.
εἰς μέσον ἄγοισα θάλος σωτήριον
πατρὸς ὑψίστου, θαλέθον χάριτι.
τὼ καὶ ὀλβίσταν σε πάντων δεσπότις
φῦλα φαμὶ μερόπων,
ὅττι θαλπωρὰν πόρες ἄμμι βίου
δειλοῖσιν ὀϊομένοι-
σιν θανεῖσθαι.

ἐπῳδ. κῶλ. ιεʹ.

καί τε κατ' οἶδμα θαλάσσας
τᾶς πολυκλύστου μέλαν
ματρὸς ἀριστοτόκοιο

 ἀμφέ-

ἀμφέπειν θείαν ἰδέαν δοκέει
πολλὰ τῶν ζώων πνεόντων.
νῦν δέ τι κρειττὸν ἑλών,
ἄλλων παραλειπομένων μοὶ φράζεο
φαμὶ τὰν πικρὰν λιπαρὰν,
κασιγνήταν τ' εὐκλέα
πορφύραν. δοιὼ δὲ τάδ' ὄστρεα δῖα
κῦδος ἐμφαίνει κρεοίσας
τᾶς θεοῦ κουροτρόφοιο.
ἃ δὲ μὲν, ὅτι λίθαν
χιοναυγῆ μαργαρεῖταν
κυέει αἰγλάεντα φαιδρόν.

στροφ. ια'. κώλ. ιβ'.

αἰθερίας γὰρ νυκτὸς ὄρφνᾳ
τὰς πτύχας ἀμφιδύμοις
αἱ ἀναπτύξαισα δρόσον
λαμβάνει λαμπρὸν γόνον αἰθέρος, ἐνσκαπτοί-
σας δ' αὐγᾶς ἅμ' αἴφνας ἀστραπᾶς,
πτήξαισα πάλιν, δίθυρον συγκλείεται
ὄστρακον, γίνεται δ' ἐπ' ἀγακλεὲς οὔ-
τω γάνος λευκοῖο χεύματα μαργάρου.
περικὸς ἀπ' οὐρανίας,
ἠδὲ ῥιπᾶς ὕψοθεν ὀρνυμένας.
ἁ δ' αὖθ', ὅτ' ἀγάνορα κάλ-
χαν περιχεύει.

ἀντιστροφ. κώλ. ιβ'.

ἅτε ποιοῦνται μοναρχᾶν
εἵματα δαιδάλεα.
κογχύλας μὲν γὰρ ῥοδόεν
αἷμα φοινίσσει χλανίδας μεγάλων κρειόν-





των αὖθι φορύασον λειείῳ.
τοιόνδ' ὑπάτῳ βασιλέων παμπόρφυρον.
φᾶρος ἃ χῆμα καλὸν ἁρμόσατο
μυστικά, τοιόνδ' ὕφασμα μήσατο
ὁπότ' ἔφασε πίσυ-
νος ταχεῖ κάρυκι θεοῦ μεγάλου.
δώλα πατρὸς ἠνίδ' ἐγώ,
καὶ θεράπνα

ἐπῳδ. κώλ. ιε'.

εὔχομαι ἔμμεν ὀλύμπου
δεσπότα περίφρον, τεὸν
μοὶ κατὰ ῥῆμα γένοιτο.
δὴ γὰρ ἐγκύμων ἱκετείδι φω-
νᾷ σευ εὐθὺς τᾷδ' ἔγεντο,
ἀνδρὸς οὔτι βροτέου
λίζοιο, γυναιξὶν ὁμῶς ἄλλαισιν, ἀλ-
λὰ θεογνάτου παιδὸς ἁγνοῦ
πατρὶ παντάρχᾳ θεῷ
συνθρόνου, ποίησε δ' ἁλουργίδα καλάν,
χρόα περιστέλλοισα χριστῷ
τίμιον, πάντων δυνάστᾳ,
αἵματος ἐξ ἰδίου
παναχράντου παρθενίου.
τί δέ κεν ἐξ ἄγρας πιφάσκει

στροφ. ιβ'. κώλ. ιβ'.

ἄργυφος λᾶας πεφυκὼς
οὐρανίας, ἀφνεὰν
ἀστραπᾶς εἰσαλλομένας
πάντοθεν κόγχαν περιβαλλομέναν γύᾳ
ἐρσάεντ' ἐλύτρῳ δικλίδι,

καὶ πεπταμένην κατὰ νύκτα κυανέαν;
φωνέει χριστοῦ ζαθέαν γενεὰν,
ἀσφαλὴς κλαίστρῳ κορείας ἀγλαᾶς,
τόνπερ ἔφυσε κεδνὰ
πνεύματος μάτηρ δροσερᾷ χάριτι,
ψυχᾶς θεότατα λιταῖς
ἐνταθείσας,

ἀντιστροφ. κῶλ. ιβʹ.

ἐξ ἀνακτόρων πατρῴων
οὐρανίαν τε πλακῶν
ἐκμολοῖσαν δεξαμένα
πατρὶ συγκλάρου λόγου ἰσοταλάντοιο.
ἱμείροισα δὲ ξυνοῦ μόρου,
ἀρᾶν τε λύσιν ποτιδεῖν φθισήνορον
αἳ θεοῦ μύστις χάνε διψαλέον
δῆτι καὶ θερμὸν μάλ', ὄμβρον ἐνδεὲς
οἷά τε νῶτον ἐρᾶ
γᾶς διαίνεσθαι, ὅτε σείριος ἄ-
ζει πάντα πυρώδεσι κόσ-
μον φλόγεσσιν.

ἐπῳδ. κῶλ. ιεʹ.

τὸ διὰ νυκτὸς ἄμολγον
τᾶς κλυτᾶς θεογνωσίας,
καὶ πραπίδων κνέφας αἰνὸν,
γᾶν κατ' εὐρεῖαν τὸ κεδαιόμενον
ταν ἑαν σωτηρίαν τε,
ἐθνέων τ' ὀλομένων
ζέοισα τυχεῖν λιπάρει ζωθάλμιον.
ταῖσι δ' ἀρρήταισι γοναῖς
θεὸν αὐτὸν γείνατο,

τὸν



τὸν μέγαν σωτῆρα βροτῶν πολυμόχθων,
πρευμενῆ τε κηραμύνταν,
καὶ δυᾶν ἀλκτῆρα πασᾶν,
καίπερ ἑᾶς κεφαλᾶς
τόσσον οὐκ αὔπω γέρας, ἀλ-
λά τινος ἄλλας ἦλπετ' ἔμμεν.

στροφ. ιγʹ. κῶλ. ιβʹ.

Τουτάκις δ' ἄντλησεν ἔρσας
οὐρανίας λιβάδα,
Τουτάκις δ' ἀκτῖνα νοε-
ρὸν, πάγη δ' οὕτω ζάθεον βρέφος ἐκβλαστὸν
ἐν σπλάγχνοισι νύμφας ἀθερὸν
σεμνοῖσιν ἀπειρογάμοιο, μέγαρον
τὸν φαμὲν μύσται δι' ἀκραιφνέα τι-
μάν τε καὶ κάλλος φυᾶς εὐηράτου.
τρὶς μάκαρ, ὃς πρίαται
τὸν δ' ἀπάντων θνατὸς ἀνὴρ κτεάνων.
κεῖνός κεν ἔοι θεόμοι-
ρος ὑπὲρ ἄλλων.

ἀντιστροφ. κῶλ. ιβʹ.

ὡς μέλισσ' ἔπ' ἄλλο τ' ἄλλο
οὔνομα λειριόεν
θῦνέ μοι γλῶσσ' ἀρτιεπής.
εἰπὲ τί κληδὼν φρονέοισα λέγει θέασις,
φαίνοισάν μιν ἶριν τ' ἐνδρόσοις,
καὶ συνθεσίας μέγα μνᾶμα θεσκέλου,
τόξον εὐκαμπὲς νεφέλαισι φλέγον.
ἆρ' ὅθ' ὡς τέκμαρ τόδ' ἰῶ γαίας πέδον
μὴ κεραϊξέμεναι
νᾶμα καχλάζον τὸν ἔπειτα χρόνον

ἔθιει

ἔθνει σὺν ἐφαμερίων
πάντ' ἀμαυρωῦ,

ἐπῳδ. κῶλ. ιε'.

ὧδε χαμαιγενέεσιν
ἠπίδ' ἡρώασσας βροτοῖς
ὤπασεν ἀντιβολήσειν
ἀμβρότου ζωᾶς γλυκὰ θεογό-
νου, νέου τ' αἰῶνος ἄλλου
τᾶς δίαιτα χρυσέου.
ἐκ μὲν γὰρ ἔφυ παραδόξῳ κύματι
παῖς, περὶ θνατῶν τ' ἐκέκα-
στο θεουδείας στέφει,
εἰκέλα τόξου πολυανθεῖ χροιᾷ.
ἦ γὰρ ὡς ἀκτῖσι γλαύσσει
ἁλίου τόξον πεφυκὸς,
τὼς μυρία θεόθεν
γεραῖ' ἄνθεσι φλέγεν
νεοθαλής περ ἐοῦσα θείοις.

στροφ. ιδ'. κῶλ. ιβ'.

Ἰὼ σέβας καὶ θαῦμ' ἰδέσθαι
εἴδει σεμνοτέρῳ.
οὐδὲ γὰρ βλαστεῖν βροτέας
ἐκ σπορᾶς ἔρνος δοκέεσκεν ἀγακλειτόν,
ἀλλ' ὥστ' εὐθαλὴς θαυμαντίας,
μορφᾷ νεφέλαις διεφαίνετ' ἐκπρεπεῖ
ἐν κελαινώπεσσι φαεινοτέρα,
φαμὶ δὴ κόραις φυαῖπερ ἀφνεαῖς.
πρὸς δ' ἔτ' ἀρήϊον ὅπλον
ἱερὸς φαίνει, ἵν' ἀταρβέα δα-
λῶν δύνασιν δαΐφρο-





νος μεδοίσας,

ἀντιστροφ. κῶλ. ιβ'.

τᾷ ζέπει πτᾶνας αἰνοὺς
νειόθεν ὀρνυμένους.
τοὶ βροτῶν ψυχὰς γ' ἀλαπά-
ζειν ἐφορμαίνουσιν ἁλισκομένας αἰεί.
σημαίνει δ' ἀγαστὰ ἱερὸς
κύρτωμα καλὸν σκέπας, ὧ περισκέπει
ἀγκυλωτῶν τρόπον ἀσπίδος ὅ-
λον λεών. ἱερὸς δ' ὅτ' αὖ μανύτειρα
φαύσιος αἰθερίας,
γᾶθος εἰράνας πραπίδων ἀγέμεν
ταὶ παρθενικαὶ θαλερό-
πὸν νόησον.

ἐπῳδ. κῶλ. ιε'.

τῷ δ' ἑκατηβόλῳ ἁγνῷ
ὁ στράταρχος παγκρατὴς
οὐρανίαν στρατιάων
κρηγύων τόξῳ στερωπὰς βελέων,
ἐμπύροις ῥιπάς τ' ἀφιεὶς
τοξότας, πολεμίων
θείου φλόγ' ἐρωτὸς ἐνάπτει ἀστεργέσι
πραπίσιν, ὥς νιν, καὶ πατέρα
ὕπατον βεβλαμμένοις
καλὰ μέμνασθαι περὶ κῆρι φιλῆσαι,
καὶ σέβεσθαι. ταῦτα δ' ἐστὶ
παρθενικῆς τοξεύματ' ἔργα·
ἅττα βροτοῖς φίλια,
χαριτές θ', αἳ σηκὸς ἄναξ,
οἷά τις ῥυτὴρ οἴστους,

στροφ. ιε΄. κῶλ. ιβ΄.

οὐ κάμνει φίλας ἰάλλειν
αἷς ἀεὶ γειναμένας.
νηξεχῶς χειστὸς τελέθει
ἴς ἔρως ἀβρὸς, θρασὺς οὐκ ἀφροδίτας παῖς·
ἐκ πάντων γὰρ αὐτὸς κάλλιμος.
υἱοῦ δέτ' ἄρμα πέλεν τοξαλκέος,
ἐξ ὅτ' εἰς αὐτὰν πατρόθεν κατέβα.
ὡς ὅτ' ἀλέκτωρ ἔδυ λεπτουργέα
ἰκμαλέαν νεφέλαν,
καὶ διαυγείαις σφετέραις χαροπὰν
θάλπιν κατέγραψε πολύ-
χροον φαειναῖς.

ἀντίστροφ. κῶλ. ιβ΄.

δὴ τόχ' ἇς κλειναῖς ἔπλησεν
μυρμυρυγὰν θεότα-
τος τεκοῖσαν κεδνοτάταν,
ὡς καταστράψαι περί τ' ἀμφί τε κόσμον μέ-
γαν, φέγγός τ' ἀγαυὸν πότνιας
πάντας τε βροτοὺς, μάκαράς τε θαυμάσαι
ἱερὸν θᾶσαι, φίλε, φησὶ σοφὸς,
τόξον εὐανθὲς, κτίσαντά τ' αἴνεσον.
ἀσπαλάθου δ' ἐδανοῦ
τὸ πνοαὶ εἴρας περιέμεν κέρα, βί-
ον λαρότερον μυρίας
φωνεῖ ὄσδειν.

ἐπῳδ. κῶλ. ιε΄.

παρθένος ἐστὶν ἐκείνα
τὰν δίκαν παλαιγενεῖς
κειρόναν τε καλοῦντι.

ἐμ-



ὄμπνιον δ' ἴσχει χειρὶ δεξιτερᾷ
ἄσταχυν, ζείδωρον υἱόν·
ὅστις αὐτὸν ἔμμεναι
ἄρτον βιοθάλμιον εἶπε, σκαιοτέ-
ρα κρατεῖ πλάστιγγα χειρί.
ἄδικον μὲν γὰρ βίον
ἐκστυγεῖ χαίρει δ' ἔτ' ἰσορροπίαισιν.
χρυσέοις ταρσοῖς πτεροῦται
τοὺς πόδας καὶ κοῦφα νῶτα.
πότνα γὰρ ἀγγελίαις
ποτεκλαρόφθη ζαθέαις,
πᾶν χαμαίζαλον συγεῦσα.

στροφ. ιϛ΄. κῶλ. ιβ΄.

ἅδ' ἀνέψυξεν λέοντος
οἶμα μεταπομένα,
περόωθεν αἴθωνος μαλεροῦ.
μείλιον δ' ἔντυνεν ὑπ' ἑρμενεῖ περαῦ,
αἰανῆ τ' ὀρέξαισ' ἄνυσεν
θυμὸν, κατέπαυσέ τε βρύχαμ' ἄγριον,
λὶν δέ μοι νῶσαι τὸν ἐρίβρομον αὐ-
τὸν θεὸν τιμάορον θνατῶν βαρὺν,
ὃς πάρος ἐνδύμεναι
μείλιχον κώραν, ἀΐδωνέ' ἀλι-
τρῶν στόματ' ἐκέκλετο μάρ-
ψαι πνεόντων.

ἀντιστροφ. κῶλ. ιβ΄.

τοῦ λόγου δ' ἔλεγχος ἔστω
τοῦ δ', ὅτι καππεδία,
ὠρέων τ' ἄκραις κορυφαῖς,
ἔνθ' ὑπωρείαις δρυὸς ἄκρα πεπαίνονται,

 περ-

περκαίνει δ' ὀπώρα πανταχοῦ,
τὰ πρὶν μάλ' ἄωρα πέλει κἀνάμερα.
καὶ θεὸς τοιός δ' ἄρ' ἔγεντο μέγας,
ἐξ ὅτ' εἰς ταύτας ἔδυ νεάνιδος
κόλπον ἰοπλοκάμου,
καὶ δέμας κτίστωρ λάβεν ἀνδρόμεον
ἀνδρῶν, ῥαδιναί τε φύσιν
ὠκυπότμων.

ἐπῳδ. κῶλ. ιε'.

νῦν νεφέλας δέμ' ἐπείγει
ἄστρον εὐφεγγὲς λιπεῖν
παρθενικᾶς πτερόεσσας
οὔνομα κλεινὸν, νεφέλα δὲ μάλα
ὑδροχωτάτα βολαῖσιν
ἁλίου θυγατέρι
αὔνας γεραρᾶς διαφαίνοισα πρέπει.
ὅθεν ἐκεῖνα θεσπέσια
νεφέλα ἀγευμένα
ἐκ φάεος λαοῖ θεοπειθεῖ γαῖαν
παρὰ παλαιστίναν ἔγεντο
τᾶς κόρας ἴνδαλμ' ἐναργὲς
τᾶς δὲ ποθεινοτάτας.
ἅτε γὰρ δύνεσκε νεφέ-
λαν θεὸς τήναν πυρόδη,

στροφ. ζ'. κῶλ. ιβ'.

ὡς φαίνεσθαι βροτοῖσιν,
ἠδὲ λαλεῖν ἔθελεν,
τούς περ οἰκτρᾶς δουλοσύνας,
ἔκ τ' ἀναγκαίας ἐς ἐλευθερίαν χερὸς
ἱμερταν λυτρωτὰς ἔξαγεν.





οὐ γὰρ θέμις ἔσκεν ἐφαμέροις ποτὲ
προσδρακεῖν γυμναν θεότατα κόραις.
ὧδ' ἔδυ σκᾶνος πανάγνας παρθένου,
ἀμφαδὸν ἀνίχ' ὁμι-
λεῖν ἄναξ θνατοῖσιν ἔχρηζε μέγας,
καὶ τοὺς θανάτοιο ῥύσα-
σθαι δυστάχοις.

ἀντιστροφ. κῶλ. ιβ'.

οἷά τις δεινὸς στρατηγὸς,
μαλοβότας τ' ἐσιὼν
εἰς ἑὰν πάξαις κλισίαν.
καὶ νέος γαμβρὸς θάλαμον μετιὼν κηώ-
δη πνείων ἔρωτας προθυμεῖς,
κειλύματι νηγατέῳ πυκνούμενος
χρωτὸς, ἐκ σεμνᾶς θόρεν, ὥστε γίγας
νηδύος πᾶσι γεγὼς ἐπόψιος,
ὃς πρὶν ἄφαντος ἦν.
καὶ νέον ξεῖνον διὰ παρθενικᾶς
ἔσχε νεφέλας, ὁ μόδα-
μόν τ' ἀρωγὸν

ἐπῳδ. κῶλ. ιε'

θνατὸς ἀνὴρ, πολυειδῶς
ἐγγραφείσας θεσφάτοις.
πρᾶτα μὲν ὦν τραχεῖαν
ἴδ' μὲν εἰρῆσθαι, ὅτ' ἀεικέλιαν,
εὐτελῆ νόμιζεθ' αὐταν.
ἴδ' μὲν ἄργυφον αἷμα,
ἱερὸν διὰ μεμβρέας σαρκὸς κλέος.
ἴδ' μὲν αὖ κούφαν πεφατί-
σθαι, ὅθ' ὕλας γηγενοῦς

ἄχθος αἰανές γ᾽ ἀπεσείσατο πάσας.
ἴδμεν ὑμνεῖσθαι τέταρτον
ὡς διαυγῆ, καὶ διειδῆ,
βλέμμα δι᾽ ἀτρεκίας
θεολαμποῦς, ἰκμαλέαν δ᾽
ὅτ᾽ ἀΐεις, οἰκτίρμον᾽ ἔμμεν

στροφ. ιη΄. κῶλ. ιβ΄.

τοῦτ᾽ ἄδει, κεὔσπλαγχνον ἦτορ,
αὐτὰρ ὅτ᾽ αὖτ᾽ ἀΐεις
κιονώδη κληζομέναν,
τανίκ᾽ ἔννωσον σθένος ἄπλετον, ἀλκάν τε
τὰν μαζὸς θεοῦ, τὰ γίγνεται
κόσμου μέγ᾽ ἔρεισμα πιτνῶντος ἀστραβές.
ὕστατον δ᾽ εὐρὺν πυρὶ φεγγομέναν,
ἴριδός τ᾽ αὐγαῖς καλαῖς κεκραμέναν
ἀγαθέαν νεφέλαν,
τοῦτο δὴ πάχειν θεοκυσαμέναν,
ὠδῖνά τε παρθενίαν
ἀμφέπουσαν

ἀντιστροφ. κῶλ. ιβ΄.

γαστρὸς ἐν χόρτοις ἀχράντου
φάσκε διηγανέα.
ἅδε θαυμαστὰ νεφέλα
σφείου σμύχοντος ἐρυκακέει κῆλα,
αἶθός τ᾽ αἰνὸν ἀνθρώπων γλύει.
μᾶνιν δὲ θεοῖο χολουμένου λέγω,
πύκν᾽ ἀλιτροῖσι καθιλασκομένα.
δαρὸν αὖ κόσμος κατεφλέχθη βαρὺς
θεσπιδαεῖ μένει,
γᾶ τε καὶ πόντος δι᾽ ἀμαιμάκετος,

αἰθήρ



αἰθήρ θ᾽ ἅμ᾽ ὄλωλεν ἀρ-
δαν ἄϊστος,

ἐπῳδ. κῶλ. ιε΄.

εἰ νεφέλα θεότιμος
οὐκ ἐμάλθαξε λιταῖς
ἀθανάτου κέαρ υἱοῦ
ἄφθιτον, μαζὸν τὸν ἔπινε παῖς
μικκὸς ἀμμνάσαισα μάτηρ,
πολλά μιν δεομένα,
θυμῷ δ᾽ ἀδινῷ λιτανεύει τοιάδε.
ὕπατε κρειόντων διοπε-
γόνε, λαοῦ φείδεο,
φείδεο κράντορ σέθεν ἠπιόθυμε.
ἆ βαλὰν θάσω τὸ νᾶμα
ἐν νόον, καὶ θρέπτρα δεινᾶν
φεῖσαι ὑπερβασιᾶν.
σκεπάει δ᾽ οὕτω περιβολαῖς
θεοκλύτων ἔθνος κάκιστον

στροφ. ιθ΄. κῶλ. ιβ΄.

περιστροπᾶν, δεύει σταθευτὸν
ὑλοτραφέασι πόθοις.
χ᾽ ὤτι μερμαίρει δ᾽ ἀρεταῖς
ἅγ᾽, ἀφαιρεῖται δνοφερᾶν πραπίδων νύκτα
λυγαίαν, φέροισαν δ᾽ ἀτραπὸν
εἰς οὐρανὸν ὑψιφόρητον δείκνυσιν.
κύριος ταύτας πόκ᾽ ἐπεμβεβαὼς
αὐτὸς αἴγυπτον φάρον τ᾽ εἰσήλασεν,
καὶ πέσον αἶψα βρέτη,
ἅσσα τεῦξαν φροῦδα σεβιζόμενοι,
ζέσαντα θεοῦ δύνασιν,

καὶ

καὶ τεκοίσας.

ἀντιστροφ. κῶλ. ιϛ'.

ἆπις, ἄμμων, ἠδ' ἄνουβις,
ἠδὲ κακὰ δαμάλα.
ἀλλὰ καιρός μ' ἐκπρολιπεῖν
ὀρνύει κυδρὰν νεφέλαν ἀναμιμνάσκων
ἀρδεύειν ἀοιδαῖς μυστικὸν
κᾶπον, περὶ τοῦ λέγω ἄφθιτον στόμα.
ἁμὸν ἐς κᾶπον κατέβαν ἑρατὸν,
ὦ κασιγνήτα, φίλα τε νύμφα μου.
καὶ τόθι σμύρναν ἐμὰν,
σὺν δ' ἄρωμ' ἄμησα πολύθρονον εὐ-
ώδες, μέθυ λαρὸν ἔπιον
ξὺν γάλακτι.

ἐπῳδ. κῶλ. ιε'.

τὸ γλυκὺ κηρίον ἔβρων,
τὸν πόνον σεμνᾶς μελίσ-
σας μέλιτος πλέον αὐτοῦ.
τίς γε μὰν τοιαῦτα λαλεῖ; γόνος ὑ-
ψιθρόνος πατρὸς θεοῖο,
ὅστις ἦλθε μυρίας
εἰς κόλπον ἐπήρατον αὐτᾶς ἐκτενῶς
λιτομένας ἐλθεῖν νιν, ὅτε
ἐκάλει τοιῶδ' ἔπει.
αἶθ' ἔρως ἵκοιτο μετ' ὀρχατὸν αὐτοῦ
οὑμὸς εὐανθῆ, μελιχρῶν
τρωγέμεν μάλων, ἑαυτὰν
πέφραδε δ' ὧδε κόρα
χλοερὸν κᾶπον, νοερᾶς
κάρπιμον πάσαις ὀπώρας





στροφ. κ'. κῶλ. ιβ'.

ἔνθα δὴ σίβδας βρυάζει
κόκκος ὁ φοινικόεις,
καὶ κεράδας νέκταρ γλυκερόν.
ἔνθα πυρναίας σταφυλᾶς χαροπὸς βότρυς
περκάζει, κἀλαίας ἱερᾶς
καρπὸς περὶ καλὰ τεθαλὼς τέλλεται,
τέλλεται δ' ὄγχνας, κεράϊξε δέμιν
οὔτι πω χειμὼν δυσαὴς, οὐ κρύος,
οὐ ζαμενὴς ἄνεμος,
ἀλλ' ἀσινὴς πάντα χρόνον γέγαεν
εὐανθὲς ἑᾶς γέρας ἀκ-
μᾶς ἀέξων.

ἀντίστροφ. κῶλ. ιβ'.

ὧδ' ἴδοις καὶ κύπρον ἁβρὸν,
ὧδε δ' ἄωτον ἀμᾶ
νάρδου, εὔοδμόν τε κρόκον.
ὧδε κνώδη κάλαμον, κινάμωμόν τε
καὶ βλάσταν ἀμώμου λαδάνου,
σμύρναν, λίβανον, κασίαν, καὶ βάλσαμον,
καὶ θύον λαρὸν, δοκίμαν τ' ἀλοάν.
ἕρκος ἄρρηκτόν τι τοῦδ' ἐξήλαται
ἄλσει ἀκηρασίῳ,
προσβολάς τ' αἰνὰς σινίων κρυερῶν,
ἄμυνε τόγ' ἀμφοτέρω-
θεν περιχόν.

ἐπῳδ. κῶλ. ιε'.

καὶ τέμενος γὰρ ἐραννὸν
τοῦτο κλαϊστὸν πέλε
κλᾶξεν ὅπερ τεαὶ ἁγνὰ,

κλᾶξε πατρῷον κράτος εὐρὺ θεοῦ,
κλᾶξε δ' αἰπεινὰ τέκνοιο
μῆτις, ἠδὲ σοφία,
κλᾶξε γλυκύτας κλυτοτέχνου πνεύματος
περιπλανωμένα τόδ' ὅλον,
ἵν' ἀσύλωτον μένῃ
δυσμενέων βίᾳ τε κακορραφίαις τε,
καὶ φθόνῳ βεβλαμμένων κῆρ.
οὐρανοῦ δ' ἀνθείλετ' αὐτὸν
ὄρχον ὁ πατροφαὴς
λόγος εὐερκῆ, χαρίτε-
σιν ἀγαναῖς τοιαῖς δ' ἰανθείς.

στροφ. κα'. κῶλ. ιβ'.

οὐ πρέπει χαρὶς γανώσας
πίδακος ἀενάου
εὐθαλὴς μεῖλαξ, διόπερ
ταν ἐμαν δέσποιναν ἀρηραμέναν σφραγῖ-
δι κράναν πάλαι ῥῆσις φατὶς
αὔδαξεν ἐκεῖ, κάλεσέν τε δενδρέων
νᾶμα θαλλόντων, περρέον λιβάνου
σὺν ῥόθῳ βασαῦ μακρᾶν νιφαργέος.
σὺν γὰρ ἄνακτος ἔχει
δῖον ἀφθάρτου περχάραγμα βαθύ,
καὶ σᾶμα φορεῖ θεοει-
δές τι μῶνα.

ἀντιστροφ. κῶλ. ιβ'.

ἐκβλύει δὲ λαμπρὸν αἰεί,
κἀργυροειδὲς ὕδωρ,
τὰς φρένας πιστῶν μερόπων
ἀφθόνοις ῥαίνει λιβάδεσι περπίνοισα

νηπευ-



νηπευθές τι πάνθειον πόμα,
κηριτρεφέων μανιᾶν τ' ἀκεῖται
δίψαν αὐχμηραῖς χαλεπαῖς πραπίσιν,
καῦμα μειλίσσει, νέμει παρὰ ψυχαῖς,
θεσπεσίαν τ' αἴνεσιν.
ἔνθεον τοίγαρ κελάρυσμα κακῶν
πάντων ὑπίλασιν ἐπά-
γον κλύουσιν.

ἐπῳδ. κῶλ. ιε'.

αὐχμὸν ἀεικέα σεύει
σταθέων, γλυνῇ χλόας
ἁδυπνόοις ἀμαράντοις,
τᾶν διόλλυσθαι κλέος ἀνθεμόεν
οὐ φιλεῖ, φαμὶ ψεφηνοῖς
ἐν νόεσιν ἀρετάς,
ἁβροῖο κρόκου τ' ἀδιάντου τ' ἀγλαοῦ
μᾶλλον εὐειδεῖς τ' ἐρατάς τε.
ἀμάρας δ' ἐγγὺς ῥοαῦ
ἀμφὶς αἴγειροι, πλάτανοί τε κομῶντι
δαψιλὲς, βλωθραί τε λεῦκαι,
καλσέων ἄγαλμα δάφναι,
ἠδ' ἐλάται ῥαδιναί,
κυπάρισσοί τ' ἀκρόκομοι,
πᾶν γένος τε φυξίμαλον.

στροφ. κβ'. κῶλ. ιβ'.

τὴν πάλαι φῦλον φερίστων
ματρὸς ἀπειρολέχοις
γράψεν εἰκῶ ζωογράφων
ἀστέρ' ἴσχοισαν κατὰ δεξιὰ μαζοῖο
παμφεγγῆ, καὶ αὐτὰ δ' εἴσατο

L 2 πι-

πιστοῖς θεράπουσιν ἑοῖσι σχήματι
πολλάκις τοίῳ σελαγεῦσα μέγα.
ὥστε τεκμαίρειν μιν εἶναι παμφαὲς
ἄστρον ἐκεῖνο κλυτὸν,
ἅλιον προφθὰν τόπερ ἦει φάει
φαιδρὸν, καὶ βουλυτὸν αὖ-
τις μέτασσον.

ἀντιστροφ. κῶλ. ιβ'.

τῷ μετ' ἀνθρώποισι δισσὰν
εὗρεν ἐπωνυμίαν.
φωσφόρος μὲν γὰρ κλύει
ὁππόκ' ἀντέλλῃ, κλύει ἕσπερος, ὡς δύνει.
οὕτω γὰρ χρόνον τὸν φέρτατον
πάντων, φαέθοντα δίκας ὑπέρτατον
ἔφθασε πρόσθεν γεραιὰ φάος
ἐν σκότῳ λαμπρὸν λυγρῷ καθημένοις
ἁ γενέτειρα βροτοῖς.
οὐ μεθ' οἱ δὴν δ' εἵπετ' ὑποφθαμένῳ,
πότμῳ προδοθέντι ἀώ-
ρῳ δυσαλγεῖ.

ἐπωδ. κῶλ. ιε'.

τοὔνομα δ' ἔμμορε πρῶτον
ἑῷος ἀστὴρ πάγκαλος,
ὅττι φέρει σέλας ἁγνὸν
νυκτὸς ἐκκρεύων χαροπαῖς ψαφαρὰν
ἠλύγαν αὐγαῖς ἀνεῖσας.
τοῦτο πρᾶξεν μηνία
λαοῖσι φαεσφορίαν ἇς κλήσιος
ἁνίκ' ἐκδαμώσατο πᾶ-
σι, λέγω τὸν φαίδιμον

υἱὸν



υἱὸν αὐγάζοντα λιπαυγέα κόσμον.
τοῦτ' ἀριζάλοις τέλεσσεν
παρθένος σεμνὰ τρόποισι,
τᾶς ὁ βίος ζάθεος,
καθάπερ μέλπει γ' ὅμαδος
ἱερὸς, πάντας πινύσκει.

στροφ. κγ'. κῶλ. ιβ'.

πᾶν καταιθύσσει βρότειον
εὐδοκιμεῦσα γένος.
σὺν θεοῦ δ' ἐξᾶρχε νέας
ὀλβίας ἀοῦς χορεί. χριστὸς ἀγάνωρ γὰρ
θαυμαστόν τι ἆμαρ παμφαὲς,
ματρός τε κλυτοῦ κλέος εὔφαμον βίου.
ἕσπερος δ' αὖθις λέγεται βασιλὶς,
αὔλιός τ' ἀστὴρ, ἐπεὶ καθημένοις
ἐν κνέφαϊ πραπίδων,
καὶ ψέφει φαιδραῖς ποτιδερκομένα
αὐγαῖσι φλέγει συγερῷ,
κἀξεγείρει.

ἀντιστροφ. κῶλ. ιβ'.

πρῳϊνὸς μορφᾶς ποτιστά-
ζει χάριν εἰδαλίμας
τοῖς ὑπ' αὐτῷ γιγνομένοις
προξενῶν ἀστὴρ, καθαράν τε διαυγίαν
ἀνθρώποις, φέρει τ' εὐθυμίαν
φαιδρωπὸν, ἔρωτά τε θερμὸν καρδίαις.
τόσσ' ἐνεργοῖσ' ἀστερόεσσα κόρα
ταῖς βροτῶν ψυχαῖς πρὸς αὐτᾷ κειμένων
οὔποκ' ἔκαμνε γέρα.
λῦμα γὰρ σμάχει φρεσὶν ἀπτόμενον,

ἄγλαν

αἴγλαν τ' ἐνίκη, δίδοῖ τ'
ἄλλα δοιώ.

ἐπωδ. κώλ. ιε'.

κυδαλίμοισι βραβευτὰς
δωσέμεν νικαφόροις
ἀστέρα τοῦτον ὑπέστα
τῶν παθέων Χριστὸς καλὸν ἆθλον ἄναξ
γηγενέων, θυμοῦ τ' ἐρατοῦ.
εἰ βροτός τις ἔφατο
νικῇ, γέρας ἀθάνατον τούτῳ θέλω
τὶ δόμεν ἄκρας ἀντ' ἀρετᾶς
ἔρεοντ' ἀοῦς φάος
φαιδρὸν ἀνθρώποις ἐπιφάτνιον ἁγνόν.
αἴθε κἀμοὶ Χριστὲ δοίης
λαμπρὸν ἄστρον, οὐχ ἅτ' ἐχθρῶν
κρέσσονι γιγνομένῳ,
στεφάνωμ', ἀλλ' ἑπομένῳ,
τοῦδε νικασεῖν δοθέντος.

στροφ. κδ'. κώλ. ιβ'.

κἂν περιπληθὲς παρείη
οὐνομάτων τι νέφος,
ὁρμαθός τ' ἀειδομένων,
τοῖς θεοῦ νύμφα στεφανωσαμένα στίλβει,
ὡς αἰθὴρ φαεννοῖς τείρεσιν,
φωνοῦσαν ὅμως μέλος αἰόλον λύραν
πασσάλῳ θασσῶ ἀεκαζομέναν,
ὄφρα μήδωμαι νέον τινὰ τρόπον
ἄλλον ἐναρμόνιον.
οὐ πρέπει δ' οἴμῳ ἐνὶ πάντα θρεῖν
ἄμμι κρατέοισι νυὸν

ταν-



ταν δ' ἐραννάν.

ἀντιστροφ. κώλ. ιβ'.

ἀλλὰ ποικίλλειν πρεπόντως
τὸν μελίκομπον ὕμνον,
πέπλον αὐτᾶς μιμεομέ-
νοις πτυχαῖς φωνᾶς πολυτρέα θαητὸν,
ὡς λειμῶνα ποίας γλήνεσιν.
κόσμον γὰρ ἔχει ἀρεταῖς πανείκελον
ταῖς θεοδμάτοις, γένος αἷσι πρέπτον
καίνυται θνατῶν, ὑπὲρ τ' ἀγάλλεται,
καίνυται οὐρανιδᾶν,
ἐν δίκᾳ δ' αὐτᾷ τόδ' ἐνὸν κελαδεῖν,
πᾶς τίμιος ἐντὶ λίθος
τὸ τεὸν εἷμα.

ἐπωδ. κώλ. ιε'.

παρθενικὰν ἀγαπατὰν
τάνδε φορμικταῦ πατὴρ
πρὰν νεοσιγάλῳ ἔθει
εἶδεν ἀσκητὰν Σολύμων βασιλεὺς
ὀρθόμαντις, καί μιν αὐτὰν
ἐκρότασε σὺν ἔπει
τοιῷδ' ἀγαναὺ γελίζων πακτίδα.
ὦ νάσου δέσποινα φίλα
ἐπὶ χερὸς δεξιὰ
σὺν στολᾷ χρυσᾷ χαρίεσσα παρέστα,
χρῶτα δαιδαλθεῖσα λαμπρὸν,
κρᾶτα κρηδέμνῳ τ' ἐραννῷ.
ἀλλ' ἄγε σὺν παλάμᾳ
μεταβῶμεν τᾶσδε νέον
ὕμνον ἐς θέορτον ἄλλον.

# ΑΣΠΑΣΜΟΣ ΕΙΣ ΤΗΝ ΠΑΝΑ-γίαν θεομήτορα μέλει σαπφικῷ.

Χαῖρέ μοι κυδρὰ θύγατερ κρατίστου
πατρὸς αἰώνων μεδέοντος ἄκρου,
οὐρανοῦ, γᾶς καὶ πολιᾶς θαλάσσας
δαμιοεργοῦ.
χαῖρε σωτῆρος θεομῆτορ ἁγνὰ
θευφανοῦς τ' ἀλκᾶς, σοφίας τ' ἄνακτος
πατρὸς, ὃν δειλᾶς μερόπων γενέθλας
ῥύτορα πέμψε.
χαῖρε χρυσάμπυξ ῥοδόπαχυ νύμφα,
πνεύματος νύμφα φυγόδεμνε θείου,
ὅς σε θαητὰν θεόπαιδα θῆκε
παρθένον εὖσαν.
χαῖρε δ' αὖ πόντου βρεμέθοντος ἄστρον
φαιδρὸν, ἱμερτὸν, θαλερωπὸν, ἁδὺ,
κάλλιον κλειναῦ ἀμβρύασον αὐγᾶν
προδρόμου ἀοῦς.
χαῖρε τηλαυγὴς κροκόπεπλε θεία,
ἃ δίκας λαμπρὸν φαέθοντ' ἔτικτες
ἅλιον κόσμῳ ῥοδόχερος λιπαυγεῖ
ἠριγένεια.
χαῖρε δ' εὐῶπις μέγα δῖα μήνα,
παμφαὴς μήνα, δνοφερὰν ὀμίχλαν

ἃ λύεις



ἃ λύεις ψυχᾶν, μινύθοισαν αἴγλαν
οὔποτ' ἔχοισα.
χαῖρε δ' εὐερκὴς θαλέοισ' ἀλωὰ,
ἄλσος εὐῶδες, τέμενός τ' ἐραννὸν,
ἔνθα παντάρχας βασιλεὺς φιλαδεῖ
ἐνδιάασθαι.
χαῖρε θαυμαστὰ πόλις εὐρύχωρε,
θευφιλὴς πόλις, θεόδματε τύρσι,
τὰν ἔχει κρείων ἐπιπόθατον αὐλὰν
οὐρανιώνων.
χαῖρε δ' ἱλασμοῦ θεόμοιρε βωμὲ,
θῦμ' ἀερτάζων θεόγνατον ἀμνὸν,
ὃς μύσος κόσμου, συγγενές τ' ἐπαρὰς
αἵματι λοῦσεν.
χαῖρε τιμαλφὴς θυόεσσα παστὰς,
νυμφίου παστὰς πανυπερτάτοιο,
ὅς σέ γ' ὅρμοισι στεφάνωσε πᾶσαν
ἀστερόεσσιν.
χαῖρε δ' αὐτείλαν κρίνον ἐν βάτοισι
λευκὸν, ἀλλάων προφέρεις δὲ κωρᾶν.
τόσσα συμβλάταγ', ὁπόσσον τόδ' ἄνθος
ἁβρὸν ἀχέρδου.
χαῖρέ μοι κοχλὶς λιπαρὰ θεοῖο,
ἃ κύεις πρῶτα ζαθέαν λαβοῖσα,
ἀστραπᾶς θείας ἀνέκας μολοίσας,
μάργαρον ἁγνόν.
χαῖρε καλλίστα ἱερᾶν πυλάων
θεσκέλου ναοῦ πύλα, ἃν πέρασεν
οὔποτ' ἀνήρ τις βροτὸς, ἀλλὰ πάντων
κοίρανος ἀνδρῶν.

M χαῖρέ

χαῖρέ μοι κλίμαξ ἀνάγοισ᾽ ἐς αἶπος
οὐρανοῦ φῦλον ταχύποτμον ἀμῶν,
ὥς κεν ἀλλήκτου βιότοιο λᾶξιν
αἰὲν ἔχωμεν.
χαῖρε δ᾽ ἄχραντος, καθαρά τε κράνα,
ἃ βλύεις ἁγνὸν θεοτερπὲς ὕδωρ,
εὐθαλεῖς κάπως ἱεραῖς ῥοαῖσιν
συνεχὲς ἄρδον.
χαῖρε παντοίων χαρίτων μελιχρὸν
νᾶμα, παμπληθὲς βαθὺ χεῦμα δώρων
ἀγλαῶν πέμπον διὰ νῶτα πόντου,
καὶ κατὰ γαῖαν.
χαῖρε χρυσανθὴς κυανῶπι φοίνιξ,
ἃ θεωθείσας περίεσσι φύτλας,
ὅσσον ἐν πτανοῖς ὑπερέχει ἄλλων
ὄρνις ἄνασσα.
χαῖρ᾽ ἔρος θνατῶν πολύθεστε γύνα
εὐσεβέων, πλάθει μακάρων τ᾽ ἀγαυῶν,
ἀλλ᾽ ἔτι μᾶλλον γλυκερὸν μέλημα
κρέσσονι πάντων.
ἀλλὰ τριλλίστα μελίφρον ἄνασσα
τὸν σέθεν μύσταν με σάω μάκαιρα,
καί νυ τὸν χριστοῦ θεόκλητον υἱοῦ
κλᾶρον ἅπαντα.



## Ἀσπασμὸς τοῦ ἀγγέλου πρὸς τὴν πανάχραντον παρθένον Μαρίαν τὴν θεοτόκον.

Ὦ κλυτὴ, ὦ χαρίεσσα κόρη μέγα χαῖρε μαρίη,
χαῖρε μέλημα θεοῦ πολυήρατον. αὐτὸς ἀκηδέων
κύριος οὐρανιδῶν μετὰ σοῦ πέλε θυμὸν ἰανθεὶς
ἀγλαΐῃσι τεῇς, καὶ ἤθεσι κυδαλίμοισιν.
τοὔνεκα πασάων, σὺ μακαρτάτη ἐσσὶ γυναικῶν.
τρίς τε μάκαρ καρπὸς, καὶ τετράκις ὄλβιος ἁγνῆς
νηδύος ὑμετέρης, τὸν παρθένος οὖσα λοχεύσεις
ἀθανάτοιο θεοῦ γόνον ἄμβροτον ἁγνὸν ἰησοῦν.
ἀλλὰ μάκαιρα κόρη ὑπὲρ ἡμῶν εὔχεο δειλῶν,
ὄφρα δυῶν ῥυσθῶμεν, ἀμηχανιῶν τ᾽ ἀλεγεινῶν
νῦν τε καὶ ἐν καιρῷ κρυεροῦ θανάτοιο δυσαλγεῖ.

## *Idem latine.*

*Virgo illustris aue, sublimi ornata decore,*
*Salue cura Dei Maria inclyta. morte carentum*
*Ipse Sator superum tecum manet oblectatus*
*Moribus egregijs, atque aureo flore decoris.*
*Fœminea idcirco tu stirpe beatior vna.*
*Terq; tui ventris fructus, quater ille beatus,*
*Quem virgo paries illæso casta pudore.*
*Progeniem summi dilectam Patris Iesum.*
*Sed tu pro nobis miseris Regina precare*
*Vt luctu, ac sæuis angoribus expediamur*
*Nunc simul, atq; atrum sub mortis tempus acerbæ.*

# ΠΕΡΙ ΤΟΥ ΤΗΣ ΛΥΚΟΣ
## ὀνόματος τῇ παναγίᾳ θεοτόκῳ προσνενεμημένου.

ΤΙΣ καλλῶ λυκὸς μὲν ῥίῃ κλῆσιν οὐκ ἐφαρμόσαι
παρθένῳ φαίη φαεννῇ, ἣ ψέφοις οὐκ ἤσθετο
μητρὸς ἐν σπλάγχνοις παγεῖσα,
μηδὲ βλώσκουσ' ἐς φάος;
τὴν δέ που ψαλτὴρ κλείζει βαρβίτῳ θεόφρονι,
φὰς μάτην βροτοὺς ἔγρεσθαι πρόσθε λαμπρᾶς αὐτο-
φαύσιος, λέγω δὲ κούρης τῆσδε μελλούσης φανεῖν. (λῆς
παρθένος μάκαιρ' ἐν αὐτῆς ἀντολῇ συγκρίνεται
φαύσιος λάμψει φεραυγεῖ, τῆς δι' ἀγλαὸν κλέος.
οὐκ ἔοικε γὰρ θεῷ τι προσφερὲς μᾶλλον λυκός.
τῆς δὲ γὰρ κούρης γεγώσης κόσμος ἀστράπτειν μέγας
ἤρξατ' ἐκδύων ἀβληχρὸν χλωρὸν αὐχμὸν κώματος
χθών τε βάλσαμον ῥέουσα χρῶμα φαιδρὸν ἕσσατο.
Τοὔνεκεν φατίζετ' ἠώς, οὔνομ' αὐτῆς δηλαδή,
ἣν δαιδαλθεῖσα πέπλῳ λευκῷ τὸν ἥλιον
πρώϊον φορεῖ, περαίνει τ' εὐφρόνην παλίσκιον.
καὶ τὸ μύσης εἶπεν ἄλλος πρόσθες ἀμφὶ παρθένου
τῆσδε κλεινῆς, ἔπλετ' αὐγή, φησί, φωτὸς ἀμβρότου,
πάλμυός τ' εἰκὼν κρατίστου, καὶ κάτοπτρον ἀγλαόν.

ἀμφὶ



# DE LVCIS NOMINE
## Sanctissimæ Virgini Deiparæ attributo.

Porro quis claræ vocamen conuenire Virgini
Lucis almæ denegassit, quæ nihil caliginis
Sensit umquam creta in aluo matris, aluo ve edita?
Hanc sacer Psalmista dio personabat nablio.
Vanum, ait, vobis amici surgere ante candidæ
Lucis ortum appariture, nempe claræ Virginis.
In suo ortu comparatur Virgo felix fulgidæ
Luci, ob eius dignitatis eminentem gloriam.
Nil enim Deo similius luce pura creditur.
Hac enim nascente mundus cœpit elucescere,
Exsuit turpis veterni pallidam rubiginem.
Induit nouum nitorem terra sudans balsamū.
Vnde & hac Aurora dicta'st, nomine eius scilicet,
Supparo quæ mane Solē luteo cōpta inuehit (nat
Et modū ponit nigrāti nocti, & umbras termi-
Adde itē quod alter auctor pāgit hac de Virgine.
Candor, inquit, sēpiternæ lucis exstat uiuidus,
Atq; summi imago Regis, ac specillū splendidū

Hac

ἀμφὶ δ' αὖ κἀκεῖνο κούρης ἐκλαβεῖν ταύτης δοκῶ,
ὡς φλέγει φάνητος ἠοῦς περὶ νοσοῦντος κόμη,
ἡνίκ' οὐρανὸν πυραυγῆ γ' οὐ μέλαν χραίνει νέφος.
λίσσομαι δ' ἐμὸν μαρίη φῶς σ', ἵν' ἐκ πηγῆς τεῆς
νηδύμου χεύοις διαυγῆ λάμψιν εἰς ἐμὸν κέαρ,
ὥστε τοι φανῇ δυναίμην λαμπρὸν ὕμνον πηγνύειν.
κεῖν' ἔναυσμα πρῶτον αὐγῆς, τὸ πρὶν ἔκτισε θεός,
πρὶν τὰ βάθρα θῆκε κόσμου, φράζε σ' ἀνθήσειν ποτὲ,
ἐξ ὅτου πατὴρ περιπάντων βλάστεν ἠλέκτωρ φαῶν.
μέλλε γὰρ κτίσει παλαιᾷ χ' ἡ κτίσις νεήλατος
πρός τ' ἐοικέναι θεητῇ, καὶ κατ' ἴχνος βαινέμεν,
οἱονεὶ θεσμὸς κελεύει μυστικὸς τῶν ἱερῶν.
παγκρατὴς ἀρχῇ τί τέκτων λέξε κοσμοποιΐας;
λὺξ γένοιτο, φησὶ, φαιδρὴ, ἣ πελιδνὴν ἠέρα
ἐκδιώκοι, καὶ κεδάσσοι φῶς ἐς εὐρῶεν χάος.
τοῦτ' ἀνακτίστωρ τ' ἔειπε ῥῆμα πάντων φέρτατος,
εὖ τε τέλλεσθαι κέλευε παρθένον διηγανῆ,
ἥκεν ἣ γαίης ἐρεμνῆς αὖτυγ' αἴθοι λαμπάδι.
ὡς καλός τις ἀρχιτέκτων δῶμα θαητὸν δέμων,
φράζεταί οἱ φῶς διαυγὲς, μὴ πέλῃ στυγνὸν τέγος,
ὣς θεὸς κούρην κλεεννὴν δῶκε τὴν δ' ἐκκλησίᾳ.
οὐδ' ἄνευ φραδῆς θεόρτου, καὶ ῥοπῆς οἰητέον
πνεύματος θείου μαρίην τὴν δ' ἐπίκλησιν λαχεῖν,
ἣ σέλας δηλοῖ θαλάσσης, ἄστρον ἢ θαλάσσιον.
καὶ καθὼς σῶμ' ἠλίοιο φωτὸς ἐκ παριτάτου
οἴομεν πρῶτον φανῆναι, τὼς κόρης σελασφόρου,
φαίδιμον δίκης φάνητα χριστὸν ἁγνὸν φύμεναι.
ἥλιος γεγὼς δ' ἀπ' αἴγλης τέκνον ἤνιασε θεοῦ
ἐκ κόρης φύσειν ἐραννῆς, ἥπερ ἣ δία φυῇ
ἀργύφου φάους φέρῃσιν ἁγνότητ' ἀκραιφνέα

κεῖθι



*Hac item de luce & illud posse credo intelligi.*
*Mane vti nascente Sole fulget auroræ iubar,*
*Quando cælum nulla eoum pulla fuscãt nubila.*
*Te precor vero Maria lux mea, vt fonte vberi*
*De tuo in meum refundas cor nitorem amabilẽ,*
*Quo tibi queã nitenti lucidũ hymnũ pangere.*
*Te fore innuebat illa, quam Deus produxerat*
*Auream lucem, priusquã texta mũdi poneret,*
*Vnde Sol conflatus ardens luminũ fons omniũ.*
*Debuit creationi fausta recreatio*
*Rite respondisse priscæ, & ire per vestigia*
*Illius, velut sacrornm ratio poscit mystica.*
*Quid Deus mundi institutor dixit in primordio?*
*Fiat, inquit, lux serena, liuidam ferruginem*
*Quæ repellat, ac nitorẽ fundat in vastũ chaos.*
*Hoc item verbum imperauit restitutor optimus,*
*Quando fecit exoriri fulgidam puellulam,*
*Quæ sua exornaret orbem luculenta lampade.*
*Ceu bonus quõdã architectus, quõ struit pulcrã do(mũ*
*Prouidet de luce aprica, triste ne tectũ siet.*
*Sic Deus lucem parauit virginalem Ecclesiæ.*
*Nec sine instinctu putandũ est, atq; nutu prouido*
*Spiritus sancti Mariam dictitatam nomine,*
*Quæ iubar sonat marinum, siue sydus æquoris.*
*Ac velut solare corpus luce de primaria*
*Creditur fulsisse cretum, sic nitenti e Virgine*
*Inclytũ Solẽ æquitatis Christũ obortũ credimus.*
*Quippe Sol de luce natus filium dabat Dei,*
*De puella nasciturum, quæ sua pulcra indole*
*Candidæ lucis referret puritatem lympidam.*

Addi-

κεῖθι δ' αὐγὴν τὴν δ' αἰὴπταί γ' ὡς ἴδε κτίστωρ καλήν,
κἀγαθὴν λάμψαι δι' αἴθρην, ὅττι καὐτῇ παρθένῳ
εὖ ἀρήρεν εὐμενεῖ τε πᾶσιν, ἠδ' ὀνήσιμος.
πτώμασι χραίσμησεν οἰκτροῖς τῶν χορῶν ὀλυμπίων,
τοὺς ἐν ἀκμῇ στῆσε πρότῃ, χρήσιμός τ' ἐφαμέροις
τοὺς ἀνεζώγρησε πότμου, καὶ μόρου δυσαλγέος.
ἠδ' ἀθῴοις αὖτ' ἀρήγει, καὶ βροτοῖς ὑπευθύνοις.
τοὺς ἀγινεῖ γὰρ πρὸς οἶμον, καὶ γόνῳ κολλᾷ φίλῳ,
ἐνδίκοις σθένει τ' ἀέξει, κἀφνεοῖς χαρίσμασιν.
εὐκραὴς ναύταισιν αὔρα συμπαραστατεῖ 'ν πόνῳ,
ὡς τυχεῖν ὅρμου γαληνοῦ, παραστατεῖ κεκμηκόσιν,
ἐλπὶς ἐν χέρσῳ βεβαία, πᾶσί τ' εὔχρηστος πέλει.
ὅττι νοσφισθῆ μὲν ὄρφνης ἥδε λὺξ φατίζεται,
τοῦτο σημαίνει θύγατρα λυμάτων κεκριμένην
τῶν βροτείων, εὖτ' ἀνήχθη τῷ θεῷ λάτρις καλή.
δὴ γὰρ τὴν κούρην τοκῆες εὐπρεπῆ τριῶν ἐτῶν
ἤγαγον θεῷ θεράπνην, ὡς ὑπέστησαν πάρος,
ἀσμενέστερον βαλῆνι χειροποιήτου νεών.
ἐνθάδ' οὖν κλύουσιν ὄρφνη φῶτες οἱ βιωτικοί,
πρός γε τῷ δ' αἰῶνι φῦντες, καὶ χαμηλοῖς πρήγμασιν
ὧν θεὸς διεῖρξεν αἴγλην, φημὶ δ' ἁγνὴν παρθένον
παῖδα νηοῦ τῆμος ἁβρὴν πέντε καὶ βαθμοὺς δέκα
φασὶ μυστικοὺς ἀνελθεῖν οὐκ ἀρήγοντός τινος,
ὃ στιχῶν πασῶν ἔσεσθαι τὴν δ' ὑπερτέραν φέρειν.
ἐννέα στίχας λέγουσι γὰρ γενέσθ' ἐν αἰθέρι,
ἀγγέλους φωνῇ κικλήσκειν τοὺς φιλοῦμεν ἑλλάδι,
αὐτὰρ ἓξ εἰσὶ βρότειαι, πότνια τὰς παρήλασεν.
ὧ δ' ἐτήτυμον φάνεσκεν ὅτι παροιμιογράφος
φῆσκε πολλαὶ μὲν θύγατρες πλοῦτον ἤγρεαν πολὺν
πουλὺ δ' ἄρ γύναι σύ γ' ἄλλας δῖα νικᾷς κέρδεσιν.

τοιγὰρ



*Additurq. ibidem, vt illam viderit lucem Deus*
*Cõditor bonã emicasse, quod quoq. ipsi Virgini*
*Congruit dictũ benignæ, & vniuersis vtili.*
*Vtilis fuit ruinis innouandis cælitum,*
*Quos redintegrauit omnes, utilis mortalibus*
*Peste iniqua liberandis, atq. acerbo funere.*
*Fert opem quoq. ipsa iustis, fert misellis sontibus,*
*Dum quidẽ hos cõuertit, atq. copulat gnato suo,*
*At probos uirtute firmat, ditat omni gratia.*
*Præsto adest secunda nautis aura fluctuantibus,*
*Hosq. agit portũ ad salutis, quos p̃mũt angustiæ*
*Iis refert gratũ leuamẽ, omnibusque cõmoda' st*
*Porro quòd diuisa ab vmbris ipsa fertur luridis,*
*Indicat secretã ab atris mox fuisse sæculi*
*Labibus, deuota summo quãdo deducta' st Deo.*
*Nam suam gnatam parentes obtulere trimulam,*
*Impigrã Deo ministrã, sicuti spoponderant,*
*Gratius manu parato numini sacrarium.*
*Hic tenebræ sæculares iure dicuntur viri,*
*Rebus addicti caducis, atq. fluxis sæculi,*
*His Deus lucẽ diremit, nempe purã Virginem.*
*Tũ ferũt pupã tenellam quindecim tẽpli gradus*
*Mysticos subisse nixam nemini mortalium,*
*Quod dabat debere cũctos ordines supergredi.*
*Nã nouẽ classes feruntur esse diuum in æthere,*
*Angelos graio uocare quos solemus nomine,*
*Porro sex ex orbe sũptæ, quas super Diua eminet*
*Sicq. verum euenit illud, quod parœmiographus*
*Dixerat. Multæ sibi ante cõgregarunt diuitias*
*Filiæ, tu vero longe transilisti cæteras.*

N Ergo

Τοιγὰρ εἰλατὶς γεγῶσα τοῦ θεοῦ κεδνὴ κόρη,
εἰς ἔτη δὶς πέντε μίμνεν ἐν δόμῳ θυώδει,
μέχρι καρποῦ γεύσατ' ἥβης, ὥριος γάμῳ τ' ἔην.
ὧδε δ' αἰνοῦντος θεοῖο, νυμφίῳ παλαιγενεῖ
ἐζύγη φυλῆς ἀπ' αὐτῆς συγγενεῖ τῷ δηλαδή,
φῆνε ῥάβδος αἶψα φύλλοις, ἀνθέμοις τ' ἐστεμμένη.
ἀλλὰ τὸν σκοπὸν βάλωμεν τηλ' ἰέντες ὠκυβέλεα
ἐκ φρενὸς φίλης πρὸς ἁγνὴν παρθενείην λαμπάδα
συμβάλωμεν σωματῶδες φέγγος αἴγλῃ μυστικῇ.
λὺξ καταυγάζει πάχος πᾶν, πάντ' ἐρεμνὸν σοβεῖται,
ταῖς Μαρίης εἶξεν αὐγαῖς καρδιῶν τ' ἀϊδρίη,
καὶ φρενῶν πλάνη λιπαυγής, φλέξε φέγγος ἀτρεκές.
λὺξ ἑῇ φύσει προσηνεῖ πᾶσι κοινὴ γίγνεται,
πᾶσι προθύμως φαείνει, τὰς Μαρίης πρᾳότης
τοῖς καλοῖς, κακοῖς θ' ἑτοίμη τὴν βοηθὴν ἐπαρκέσαι.
ἄμμορον πᾶν φέγγος αἴγλης στυγνὸν, αἰσχρῶς τ' αὐχ-
τῇ δὲ μικτὰ αὖ τέθηλεν, ὧδε μηδ' ἐράσμιον, (μεῖ,
μηδὲ φαιδρόν τι στερηθὲν παρθενείης φαύσιος;
ἐν φάει φιλεῖ βροτῶν κῆρ ἀσφαλὲς καθεστάναι,
τάρβεος θαρσεῖ τ' ἀπόντος, τὰς ἀνάσσης κυδίμης,
ἀτμένες ῥοπῇ μακαίρας πανταχοῦ πεποίθασι.
λὺξ φύτλην φῦναι τ' ἀρήγει, καὶ τρέφεσθαι σωμάτων,
καί νιν ἀλδήσκειν φυεῖσαν, τὰς φυτεύει παρθένος
τὴν θεηγενῆ γενέθλην, ἠδ' ἀέξει φαιδίμη.
εὐδιεινῷ φωτὶ δῆλαι μηχαναὶ λοχωμένων,
καὶ δόλοι φαίνοντ' ἐναργεῖς, δαιμόνων τὰς δεσπότις
τὰς ἐνέδρας ἐκκαλύπτει, καὶ κακὰς πανουργίας.
τῷ μάλα πτήσσουσιν αὐτὴν νέρτεροι ληΐστορες,
ὅττι σφῶν φαίνουσα τέχνας ποιέει θάμ' ἠλεούς,
οὐδ' ἐᾷ κλέπτεσθ' ὅμιλον, καὶ δολοῦσθαι φίλτατον





*Ergo diuino puella mancipata cultui*
*Bina lustra mansitauit sub penetrali sacro,*
*Nubilem matura tædis donec ætatem adtigit.*
*Sic Deo probante, adulta traditur sponso seni,*
*De tribu prognato eadem, scilicet quẽ uirgula*
*Prodidit repẽte amicta frõde, & albis flosculis.*
*Sed scopũ ad nostrũ feramur, dirigamus spicula*
*Mente miti prõpta ad almã Virginalẽ lãpada*
*Atq; lucem conferamus corporalem mysticæ.*
*Lux serenat densa quæque, pellit umbras liuidas.*
*Sic Mariæ luce fulua cessit ignorantia,*
*Cessit error orbe toto, pulcra luxit Veritas.*
*Lux sua natura amica se omnibus communicat,*
*Adfatim se blanda præbet, sic Mariæ comitas*
*Se exhibet, bonis, malisque, subuenire gestiens.*
*Cuncta mœrent luce cassa, cũcta squalẽt turpiter,*
*At renident luce tincta, sic nihil lætabile,*
*Nilque amœnum virginali destitutum gratia*
*Adsolent secura corda freta lucis munere*
*Effici pauore pulso, sic clientes candidæ*
*Virginis, fauore Diuæ tuti ubiq; mansitant.*
*Lux facit stirpẽ ad creandã, & nutriẽdã corporũ*
*Atque ad augendam creatã, sic propagat indies*
*Spiritalem Virgo, alitq. prolẽ, & auget lucida.*
*Sub serena luce apertæ machinæ insidentium,*
*Et doli patent maligni. Diua pandit Manium*
*Consilia tenebrionum, pandit astus improbos.*
*Quare eam inuisam latrones expauescunt inferi,*
*Quòd suas fraudes reuelans efficit sæpe irritas,*
*Nec sinit circũueniri cœtũ amicũ, ac decipi.*

λὺξ χάριν, τιμήν τ' ἀνάπτει δι' ἀκείνοις πράγμασιν,
οἷς κ' ἔπ' αὐτῆς τέλλετ' ἀκτίς, τόσσα κούρης ἡ χάρις
τῆσδε τάνθάδ' ἀγλαΐζει, καὶ πλάκας τὰς αἰθέρος.
αἶρε κόσμου φέγγος ἁγνόν, οὐδὲν ἄλλο λείπεται
πλὴν χάος, μιῆ χάρτ' ἄμορφον; αἶρε καλὴν παρθένον
ὄλλυται πᾶν κάλλος ἁβρόν, καὶ γάνος μαραίνεται.
τίς δ' ἐν ἄλλοις μὴ φέρεσθς φῶς τὰ πρῶτα δύαμερον
οἶδεν ἀνὴρ σωμάτεσσι; τὰς Μαρία τιμίη
καίνυται φῦλον βρότειον, καὶ χορούς ὀλυμπίων.
κἂν φάος ῥύπου θίγῃσιν, ἢ δυσώδους σώματος,
οὐ ῥυπᾷ, κακῶς τ' ὄδωδε, τὰς Μαρίης ἁγνότης
οὔτι πρὸς δήμου πέφυρται, καὶ χυδαίου πλήθεος.
ἢ γὰρ ὡς νυκτὸς σελάνα καλὰ φαίνει, μηδὲ γοῦν
νυκτὸς ὄρφνα τὴν δ' ἀμαυροῖ, τὰς σκότος βιωτικὸν
οὐ φόρυξε καλλιφεγγῆ παρθενείαν λαμπάδα.
λὺξ ἔχει ζωῆς τὸ θάλπος αἰὲν οἱ μεμιγμένον,
ᾧ θιγόντα πάντα θάλπει, τὰς ἔρωτι πρευμενῆ
πότνα φέρβει, τοὺς πρόπαντας ὥστε μήτηρ ἀμφέπει
πάντα φῶς ποθοῦσι λεύσσειν, καὶ φάους ἐπαυρέμεν,
ἅττ' ἔασιν ὀξυδερκῆ, τὰς φάλαγγες οὐρανοῦ
εὔσκοποι σέλας θεᾶσθαι τῆσδ' ἐέλδονται κόρης.
ὃς βαδίζει νυκτὸς ἀνὴρ πυκνὰ πταίων σφάλλεται,
φωτὶ δ' ἀσφαλὴς ὅδ' ἕρπει, χ' ὡς ἄτερ θείας θέλει
ζῆν κόρης, θάμ' ἐξοκέλλει, καὶ κακῶς ὀλισθάνει.
φασὶ νειάτης ὑπ' αἴης φῶς τρέπειν ὑδράργυρον
εἰς χρυσοῖο καλὰς αὐγάς, ὧδε θνατῶν ἀσταθῶν
παρθένος ψυχὰς ἀμείβει, συντ' ἐρείδει, καὶ τελεῖ.
φῶς φέρει σθένη χάμαζε σωμάτων ὑπερτέρων,
καὶ κάτω κινεῖ τὰ πάντα, καὶ Μαρίη πανσθενὴς
ὑψόθεν χριστὸν κατῆγε, σέρνατ' ὦρσε νωχελῆ.

λὺξ



*Lux honorem rebus ollis, ac leporis gratiam,*
*Quas super se fūdit, addit, sicq. fulgor Virginis*
*Quæ uigēt in orbe honestat, q̄q. in oris æther is.*
*Deme mūdo lucē amœnā, quid nisi obscurū chaos*
*Restat, & confusa moles? tolle clarā Virginem*
*Pulcritudo marcet omnis, occidit cūctus lepos.*
*Quis tenere porro prima corpora inter cætera*
*Nescit alma lucis auram? Sic Maria nobilis*
*Prænitet gentiq. nostræ, cælitumq. cœtibus.*
*Lux licet cōtingat usquam spurca rerum corpora,*
*Nil trahit contagis atræ, sic Mariæ sanctitas*
*De profani fæce volgi nil recepit sordidum,*
*Nā velut per noctis umbras luna lucet, nec tamē*
*Noctis umbris inquinatur, sic nec hilū sæculi*
*Hanc tenebræ polluere Virginalem lampada.*
*Lux habet vitæ calorem semper admixtum sibi,*
*Quo fouet cōtacta cūcta, sic amorē cādidum*
*Virgo habet, quo mater oēs ceu suā prolē educat.*
*Cuncta lucē concupiscunt contueri, ac perfrui,*
*Quæ ualent uisu sagaci, perspicaces cælitum*
*Sic auent tui phalanges Virginis sacrum iubar.*
*Qui viā per noctis vmbras pergit offensus ruet,*
*Luce tutus ibit idem. Qui sine alma Virgine*
*Vitā agit, nutat, vacillat, in malum prolabitur.*
*Quin ferūt terra sub ima lucē in aurū hydrargyrō*
*Vertere fluxū solere, sic virum inconstantium*
*Sæpe virgo corda mutat, firmat, atq. perficit,*
*Lux vehit vires deorsum corporum cælestium,*
*Et mouet subterna cuncta, sic Maria præpotēs*
*Detulit Christū superne, & corda ciuit segnia.*

*Lux*

λὺξ ἔχει τ' ἀκτῖν' ἐρανινὴν πανταχοῦ συνήορον,
καὶ φύει τὴν δ' ἐξ ἑαυτῆς, παρθένος τὸν υἱέα
ἐξανῆκε γαστρὸς ἁγνῆς, τῷ μαρύσσει πάντοθεν.
θέσφατον δῆλον μὲν ἠοῦς ἔμμεναι φῶς νήχυτον.
εὐρὺ γὰρ ναίει κατ' αἴθρην, ἀλλὰ μὴ προσχήματι,
τῷ δ' ὑπερβάλλει μαρίης πάντα πιμπλᾶσαν χάριν.
οὔτινος χωρὶς διοιχνεῖ προσκοπῆς φῶς ἠέρα
νήχυτον κάτω καὶ ὕπερθεν, ὡς μαρίης ἠπίως
πάντα δαὶς πόλον διήκει, φῦλά τ' αὐγάζει βροτῶν.
ὡς σκιῶδες οὐδὲν ἴσχει, μηδέτι κνέφας παχὺ
ὀξὺ φέγγος ἡλιῶδες, πῶς ἀκραιφνὴς λάμπεται
παρθένου φλέγουσα λαμπὰς ἐξ ἀώτου τοῦ θεοῦ.
ἐμπέφυκε φωτὶ λαμπρῷ λεπτὰ ποιεῖν σώματα,
ἠδ' ἀραιά, πουλὺ μᾶλλον καὶ μαρίη βρίθεος
οὔτι κουφίζειν ἐρωεῖ τὰς φρένας τοῦ γηΐνου.
οἴδαμεν νέφη φαεννῇ νειόθεν λαμπηδόνι
αἶψ' ἀείρεσθαι πρὸς ὕψος, πῶς ἔρωτι παρθένου
κῆρ ἀΐσσει τὸ βρότειον ἐκ χθονὸς πρὸς οὐρανόν.
πολλὰ δ' αὖ διεστεῶτα τῆλε λὺξ ἀολλέει,
καὶ συναθροίζει πρὸς αὑτήν, εἰς ἓν ἀριθμὸν συγκροτεῖ
πῶς κόρη τηλουρὰ φῦλα, ξεῖνά θ' οἱ ἐφέλκεται.
λεῦσσε μ' ὡς παντοῖον ἔθνος τέμενος εἰς λωρήτειον
πάντοθεν, πάγον τ' ἐπιρρεῖ θεῖον ἀθρεῖν δέμνιον,
ᾧπερ ἐνκύησε καλὸν παῖδα, καὶ μαιώσατο.
ὡς δὲ πᾶν αἰσθητὸν αἴγλην προσδρακεῖν εὐδείξον,
τῇ τ' ἐφίεται θέρεσθαι, πῶς ποθοῦσιν εἰσιδεῖν,
οἱ καλοὶ φῶς παρθένειον, ὡς τυχεῖν τούτου γερῶν.
λὺξ ποιεῖ θάλλειν καθ' ὥρην ἦρος ἠδ' ἐπανθέειν
δένδρα, καὶ φέρειν ὀπώρην, τῆς μαρίας δ' ἡ χάρις
ἄνδρας ἀκμάζειν πτύσσει θεοσκέλοις στερνήμασιν.

Τοῖς



*Lux habet splendorem amœnũ secũ ubiq. cãdida,*
*Deq. se progignit illum, Virgo promit filium*
*Vnicum, secumq. gestat, quo refulget vndique.*
*Multiplex probatur esse lux sui diffusilis,*
*Quippe se propagat amplè, sed nec istoc nomine*
*Virginem sua replentem vincit orbem gratia.*
*Iam sine vlla læsione lenis immensum aera*
*Lux supra, ac metitur infra, sic Mariæ leniter*
*Fax polũ permanat omnẽ, nostra lustrat sæcula*
*Vt nihil concretionis, nilq. crassi nubili*
*Lux habet solaris in se, pura sic tota emicat*
*Virginis succensa lampas flore de puro Dei.*
*Lucis est peculiare tenuiora corpora*
*Reddere, ac subtiliora, nec Maria pondere*
*Desinit mentes grauatas eleuare terreo.*
*Cernimus nubes aprica protinus sublimius*
*Luce in auras subuolare, sicq. amore Virginis.*
*Tacta humo se corda tollũt tẽpla cæli in lucida*
*Quid quòd & lux fulua nouit cogere ad se dissita,*
*Atq. in vnum congregare? dissidentes adlicit*
*Virgo ita ad se nationes, atq. in vnum copulat*
*Cerne quàm diuersa eodem multitudo confluat*
*Visere augustum sacellum colle Loreti situm,*
*Quo suum concepit almum, & educauit filium*
*Nam velut lucem intueri gestit omne sensile,*
*Hac calere, inluminari, sic bonæ mẽtes petunt*
*Virginalem lucem, ut eius cõsequãtur munera.*
*Lux facit virere verno tempore, & florescere*
*Arbores, frugemq. ferre, sic Mariæ gratia*
*Nos facit vigere semper viuidis virtutibus.*

Τοῖς δ' ἄμωμος οὖσα μητὴρ πλουσίη δωρήμασιν,
ἔθενε φράσαι σὺν υἱῷ, φῶς ἐγὼ κόσμου πέλω,
ὅσκέ μοι βούλοιθ' ὁμαρτεῖν, οὔποτ' ἐν σκότει πατεῖ.
Τοιγὰρ ἐσπώμεσθα ταύτῃ καὶ λιτώμεθ' ἠνεκὲς,
ὥσθ' ἑαῖς ἀκτῖσι κλειναῖς, ὡς κλύει τῆσδ' οὔνομα,
ἡμέων τὰ στέρν' ἀνάψαι τοῦ γνόφῳ πυκνούμενα

**Talibus quom Mater alma dotibus sit prædita,
Quit sua cum prole fari, lux ego orbis luridi,
In tenebris qui volet me vir sequi, nõ ambulat
Proinde consectemur illã, & obsecremus iugiter,
Vt suo splendore nostra, ceu cluet nomen suum,
Pectora illustret tenebris inuoluta tristibus.**



Ἐπινίκιον τοῦ θεοῦ ᾀδόμενον παρὰ τῶν νικησάντων ἁγίων ἐξ ἀποκαλύψεως. κεφ. ιε'.

Ὡς ἀμέγαρτα σέθεν καὶ μὰν θαυμαστὰ πέλονται
ἔργματα, παντοκράτορ θεὸς ἄφθιτε κοίρανε κόσμου.
πάντα δίκαια νέμεις, καὶ ἀληθινὰ πάντα βραβεύεις,
ἡγητὴρ θ' ὁσίων μακάρων, ἐθνέων τε προπάντων.
τὶς μὴ σεβομέοι, καὶ τοὔνομα σεῖο γεραίροι;
ὅτι μόνος θεὸς ἐστὶ, καὶ ἁγνὸς μοῦνος ὑπάρχεις,
μοῦνον ἐπιχθονίων σε σεβίσσεται ἄκριτα φῦλα,
αἰώνων βασιλεῦ πολίων, κατ' ἀπείρονα γαῖαν.
πᾶσιν ἐπεὶ δῆλαι καὶ ἐπόψιοι ἐξεφάνησαν
σεῖο δίκαι ζάθεαι, νημερτέες ἠδὲ θέμιστες.

ᾠδὴ εἰς ἔπαινον μακαριωτάτης Μαρίας τῆς παρθέ-
νου μέλει ἀντισπαστικῷ γλυκωνείῳ, καὶ
δωρίδι διαλέκτῳ. οἷον τό,
πάντων σύννο-
με τὴν ἐμὴν ἡδὺν φθόγγον ἐ-
μοὶ φέρου.

οὐθέν τοι Σαλομὼν μέγας
ὃ ζάτει κλέος οἱ τεκὰς
εὐχαῖς, πώποτ' ἀνάνατο.
τὺ νῦν δ' οὐ κενεοῦ καλῶν
ἃ βλύζεις φρέατι, κέαρ
οὐ καμψεῖς σέθεν υἱέος;
σοῦ τέχναις ποτινίσσεται,
τὰν κεδνὰν χάριν ὤλεσεν
μάτηρ ὠγυγία πάρος.
οὐ τόσον γεράων πόρε
τὶν κτίστωρ σέθεν εἵνεκα.
λαῶν εἵνεκα δ' αἴνυσαι
δωτιναῦ ῥόον ἀγλαόν.
τὸν δ' ἁμῖν ἐπιδεύεσι
λῦσαι, τὰν σύγ' ἔκατ' ἔχεις.
τυτθῷ φερβὰ τὺ λαγέτᾳ
πόρσαινες σέο νηδύος
πολλοῖς μησὶν ἐπιξένῳ.
κουρίζοντά νιν ἔτρεφες
ποιπνύουσα γυῖ' ἀγέος





Oda in laudem beatiss. Mariæ Virginis carmine
antispastico glyconio, Quale est illud:
Illi mors grauis incubat,
qui notus nimis
omnibus, ignotus moritur sibi. Ex græ-
co in latinum versa.

*Nil quondam Salomon potens,*
*Quod mater petijt pia,*
*Subtraxit famulans preci.*
*Tu quæ non vacuo bonis*
*Exundas puteo parens,*
*Non flectes genitum tuum?*
*Per te gratia redditur,*
*Quam tot temporibus vetus*
*Mater perdiderat prius.*
*Non tantum tibi gratiæ*
*Ob te munera dat Deus.*
*Ob causam populi potens*
*Flumen muneris accipis.*
*Reddas pauperibus pia,*
*Ob quos plena manes bonis.*
*Regi pabula paruulo*
*Tradebas vteri prius*
*Multis mensibus hospiti.*
*Fouisti fragilem artubus*
*Vitæ commoda præparans*

ἐν ζωᾶς δολιχῷ δρόμῳ.
πυρσὸν παρθενικᾷ χερὶ,
οὐθὲν τὸν δύναται μένος
ὄλλειν πάγχυ φλογώδεα
ἤνεικας σέο κεύθεσιν.
δαρὸν φλὸξ ἔλαθεν χρόνον,
τᾶς οὔ τω τεθιγεῖν θέμις.
τεὸς λαρὸν φιάλᾳ μέλι
σεῦ χρυσᾷ χυθὲν, ὥστε μὴ
τοῦ γλυκασόν τι περαίτερον,
οὐδ' ἶσ' ἄλλό τι κεράγνον.
ἔνθεν δὴ φρένας ἅγνισον
ἁμῶν φωτὶ θεαρχικῷ,
ἄγλατ' ἀχλὺν ἐλαυνέτω.
χ' ἃ πίκραινεν ἁμαρτία
δ' οὖκος στέρνα καταβρέχοι.



*Cursu multiplici viæ.*
*Ignem virginea manu,*
*Quem nullus valeat vigor*
*Prorsus perdere feruidum,*
*Portasti latebris tuis.*
*Talis lux latuit diu,*
*Quam quis tangere non queat.*
*Mel tam dulce fuit tuæ*
*Infusum fialæ, supra*
*Ne dulcor valeat dari*
*Illi, nec similis sapor.*
*Exin purifica pie*
*Mentes igne Thearchico,*
*Hinc fulgor tenebras fuget.*
*Et quæ crimen amaricat*
*Dulcor pectora compluat.*

Εἰς τὴν ὑπεραγίαν παρθένον θεοτόκον.

πρὸ στιβάδος μαρίης ἡμῖν ἐνετείλατ' ἀείδειν
ἄσματα δῖα τριὰς δράγματος ἡδυμελῆ.
οὕνεκεν ἀδροσύνη γένεθ' ἡμῖν πᾶσα δι' αὐτῆς,
ἀδρή τ' εὐφορίη, κὤλβος ἐπηετανός.
οἳ πρὶν ἀχρημοσύνῃ μέλεοι δεδμήμεθ' ἀεικεῖ
ἶροι, καὶ πτωχοὶ πάντες ἀφαυρότατοι.
τοιγάρτοι νύμφης ἅμυδις μέλπωμεν ἐραννῆς
πρόσθε θεοδμήτου τῆσδε κλέος θαλάμου.
καὶ χορὸν ἀρτίζωμεν ὅσοι τῆς δ' εἵνεκα καλῶς
ζῶμεν ἀείροντες πρωῒ καὶ ὀψὲ κόρην.

ἄλλο εἰς τὴν αὐτήν.

οὐδείς, φησὶ μέγας σωτὴρ, τὸν λύχνον ἀνῆψε,
χοίνικος ἐγκρύψας τ' ἀμφεκάλυψε σκιᾷ,
ἀλλ' ἐπὶ λυχνούχοιο ἀνημμένον αὐτὸν ἔθηκεν,
πᾶσιν ἵν' ἀστράψῃ ἔνδον ἐοῦσι δόμου.
τὸν λύχνον δὲ νόει μαρίην θεολαμπέα, τέκνον
τὴν φλογὸς ἔπλησεν τῆς θεότητος ἑῆς,
εἷσέ τ' ἐπὶ θρόνον αἰπὺν ἐπόψιον οὐρανὸν εἴσω,
ἄστρον ἅτ' οὐράνιον πᾶσι περίφαντον ἄδην.
ὥσκεν ἐπιφλέξῃ σφετέροις ἀμαρύγμασι θείοις
πάντας ἐπουρανίους, πάντας ἐπιχθονίους.

Εἰς τὴν αὐτήν.

οὐδὲν θαῦμα, κόρη εἰ ἐν οὐρανῷ εἰλυφάζει
ἡ βασιλὶς σέλαΐ γ' εἰλυμένη ἀκροτάτῳ,
πάντα τε κόσμον ἑαῖς καταλάμπειν μαρμαρυγῇσι,
καὶ πλάκας αἰπεινὰς αἰθέρος ἀτρυγέτου,
ἣ κεῖνα ἀργυφέοισι, λίγυστρά τε ἤθεσι νικᾷ,
καὶ νίφα, κεἴ τι πέλει λευκότερον νιφάδος.

οὐδέ-



*In Sacrosanctam Virginem Deiparam.*

*Ante thorum Mariæ præcepit fundere cantus*
*Suauiloquos nobis dragmatis Alma Trias,*
*Vbertas nobis quoniam prouenit ab ipsa,*
*Fertilitasq. omnis, perpetuumq. bonum.*
*Turpis egestatis quos clades presserat ante*
*Iros, mendicos, vileq. vulgus inops.*
*Quapropter sponsæ tollamus laudibus almæ*
*Grati ad diuinum quisque decus thalamum.*
*Plaudamusq. olli, per quam pulcre atq. beate*
*Viuimus, & sero & mane sonemus heram.*

*Aliud in eandem.*

*Nullus, ait Soter, accendit lumina testa,*
*Et simul vmbroso cælat eam modio.*
*Sed super accensam lychnuchon ponit, vt omnes,*
*Qui domum habent, fuluam conspiciant faculã.*
*Tu testam Mariam diuina intellige plenam*
*Luce, suo impleuit numine quam soboles,*
*Sublimique throno posuit super æthera summum,*
*Sydus vti cunctis conspicuum populis.*
*Vt lustret proprio radiorum fulgure claro*
*Cælicolasq. omnis, terricolasque simul.*

*In eandem.*

*Quid mirum, candet si Virgo Regia in arce*
*Aetheris immenso lumine amicta suo?*
*Ac totum proprio mundum candore nitenti*
*Lustret, & ætherei regna superna poli?*
*Quæ morum candore ligustra, & lilia vicit,*
*Atq. niuem, & siquid sit niue candidius.*

*Corpo-*

οὐδέποτε σπίλον καθαρῷ χροῒ οἶδε, ῥύπον τε,
καὶ κρεῖσσον τειρέων φέγγεος ἦτορ ἔχεν.
ὄφρα δ' ἔην ἐπὶ γῆς, ζωῇ ἀπεκαίνυτ' ἀχράντῳ
τάγματά τ' οὐρανιδῶν, αἰθερίους τε χορούς.
εἰ δ' οὖν μαρμαίρειν ἀποθεὶς κηλῖδας ἐέλδῃ,
σεῦ φρεσὶ δέσποιναν τήν δε προσέλθε κλυτήν.

εἰς τὴν αὐτήν.

ἄστρα, τάπερ χαροποῖς κυαναύγου ἐν γυάλοισιν
αἰθέρος ἑστήκει, νωλεμὲς οὐ σελαγεῖ,
κρύπτει δ' ἠελίου φαιδρὸν σέλας ἀντέλλοντος,
ὁππότε τ' εἰς πόντου βένθεα γλαυκὰ πιτνεῖ.
τύνη δ' ἄστρον ἁλὸς, θαλερόμματος οὐρανοῦ ἀΐγλη,
οὔποτε σὸν λήγεις ἡδὺ χέουσα φάος.
αἰθύσσεις δὲ βροτῶν ἦτορ ζαθέῳ σέο θάλπει
νυκτιφαῶν αὐγῶν πουλύ τι φαιδροτέρη.

εἰς τὴν αὐτήν.

ὅσσον ἀνατέλλων προφέρει εὐώπιδος ἄστρων
λαμπρὸς ἴτυς μήνης φέγγεϊ φαιδροτέρῳ
τόσσα μετ' ἴλαισι μακάρων πρέσβειρ' ἐριτίμων
καὶ σὺ πρέπεις Μαρίη κύδεϊ σεμνοτέρῳ.
εὐρὺ πρέπεις στίλβουσα κατ' αἰθέρα, καὶ διὰ πόντον,
ἠδὲ κατ' ἠπείρου βάθρον ἀπειρέσιον,
ἦ γὰρ ἄναξ δυνατός σ' ὑπάτοις δώροισι γέραιρεν,
ἰσοπαλὴς μητρὸς μή τις ἔοι σφετέρης.

εἰς τὴν αὐτήν.

εὖτε σέθεν μύσται Μαρίαμ πολυώνυμε δισσῶν
ἄστρων κλείουσί σ' οὐνομάτεσσι κλυτοῖς,
ἀστέρα φαμίζοντες ἁλός θ', ἑλίκαν τε φαεινάν,
ἀστέρα τ' ἀοῖον πρόδρομον ἀελίου.
τὸν μὲν, ὅτ' αὐγάζει νυκτὸς ζοφοειδέος ὄρφναν,

τὸν



*Corpore quæ nullam sensit purissima labem,*
*Et prius astrorum fulgure pectus erat.*
*Dumq. erat in terris superabat celsa nitore*
*Agmina cælicolum, sydereosq. choros.*
*Si cupis ergo tuis maculis candescere tersis,*
*Reginam hanc adeas mente, animoq. sacram.*

*In eandem.*

*Sydera, cæruleis quotquot cælestibus oris*
*Stant fixa, haud omni tempore clara micant.*
*Absconduntq. suos exorto Sole nitores,*
*Pronaq. cum se abdunt sub maris alta vada.*
*At tu Stella maris, cæli iucundior ignis,*
*Haud vmquam cessas fundere dulce iubar.*
*Accendisq. hominum cunctis flagrantior astris*
*Frigida sublimi corda calore tuo.*

*In eandem.*

*Quantum Luna alijs oriens candore venusto*
*Stellarum excellit clarior vna globis.*
*Augusto tantum ueneranda Maria decore*
*Præluces superis pulcrior vna choris.*
*Mirificumq. iubar cæli perq. aurea templa,*
*Perq. maris fundis cærula, perq. solum.*
*Quippe potens Dominus summis te dotibus auxit,*
*Ne quisquam matri par queat esse suæ.*

*In eandem.*

*Quando tui Mystæ duo nomina clara duarum*
*Stellarum adtribuunt Diua Maria tibi.*
*Teq. maris Stellam vocitant, Heliceng. coruscã,*
*Atq. facem eoam, luciferumq. iubar.*
*Vna quòd illustrat noctem fax præuia solis,*

P

*Altera*

τὸν δ' αὖ, ὅτ' ἰθύνει ποντοπόρους ἀνέρας.
ἀντιβολῶ σ' ὦ γλῆνος ἀείζαλον περὶ πάντων,
σαθέων ἁμετέρων ἀχλὺν ἀποσκέδασον.
ἁμετέραν τε τρόπιν διὰ μυρία δεινὰ βίοιο
ἀσκηθῆ κατάγοις εὔδιον ἐς λιμένα.

Εἰς τὴν αὐτήν.

μάργαρον ἐν λάεσιν ἐφίμερον, ἐν δὲ φαεινοῖς
ἄστρασιν αἰγλήεις ἄγγελος ἠριπόλης.
ἐν πτηνοῖσιν ἁγνὴ χρυσόπτερος αὖτε πέλεια,
ἄλσεσι δ' ἐν θαλεροῖς χρίσματος ἡδὺ φυτόν.
καὶ κρίνον εὐπετάλοισι μετ' ἄνθεσι, κόσμος ἀρούρης.
εὔοδμον πολιὲ τ' ἦρος ἄγαλμα ῥόδον.
ἐσσὶ θεοῦ χαριδῶτι φιλάγλαε πότνια κούρη,
μῆτερ σωτῆρος παντοκράτειρα βροτῶν.

εἰς τὴν αὐτήν.

καίπερ χεῖμα πάγῳ βορέω πέφρικεν ἀέντος,
καὶ χθόνα διψαλέην σείριος αὖε βαρύς,
ἔμπα γε σοὶ κροτάφοις ἐρατοῖς ῥόδα καλὰ πυκάζει,
δῖα κόρη, κόλπον λείρια θ' ἁβρὰ τεόν.
παρθένιον κόλπον, γόνον ἀντείλαντα ποθεινόν,
οἷα φύει κόγχη μάργαρον ἀργύφεον.
βοῦνις ἀκανθοφόρος δ' οὐχ ὅρμους τοὺς δὲ φέρει σοι,
ἀλλὰ θεοῦ τέμπη, καὶ θέειον τέμενος.

εἰς τὴν αὐτήν.

ἣν τιμῇ κλήϊσεν ἀριζήλῳ θεὸς ἔρδων,
ὥστε φῦναι λυγρῆς νόσφιν ἀτασθαλίης,
τηλυγέτου τε γόνου τοκετῷ κύδηνεν ἀμεμφεῖ,
ὃς θνητῶν ἰδίῳ λοιγὸν ἔλασσε φόνῳ.
τὴν γ' εὐηγορίαις τε καὶ εὔγμασι καλὰ σέβωμεν
πάντες, ὅσοις τόκῳ λυγρὸν ἄμυνε μόρον.



*Altera quòd nautas dirigat in pelago.*
*Te precor ô sydus cunctis rutilantius astris,*
*Discute de nostro pectore triste chaos.*
*Atq; ratem nostræ per mille pericula vitæ*
*Duc fragilem, vt portum tangere tuta queat.*

*In eandem.*

*Tu lapides inter lapis vnio pulcer, in astris*
*Splendidus Auroræ nuncius auricomæ,*
*Cœtibus in uolucrum pinnis aurata columba,*
*Arbor & in lucis nobilis vnguen alens.*
*Et lili vernos inter coma candida flores,*
*Et rosa purpurei fulgida veris honos.*
*Es Virgo illustri gaudens præclara nitore,*
*Cuncta potens, hominum Sospitis alma parens.*

*In eandem.*

*Quamuis bruma gelu Borea spirante rigescat,*
*Et canis arenti torreat arua siti,*
*Puniceæ tamen alma Parens tua tempora cingũt*
*Vsque rosæ, cingunt lilia cana tuum*
*Virgineum gremiũ, genuit quod amabile pignus,*
*Assolet vt gemmam lucida concha suam.*
*Haud tibi submittit spinosa hos terra lepores,*
*Sed cœli tempe, & læta vireta Dei.*

*In eandem.*

*Quam Deus insigni condens ornauit honore,*
*Vt sine peccati labe puella foret,*
*Vnigenæque sui partu decorauit honesto,*
*Qui propria pepulit funera nostra nece.*
*Laudibus hanc omnes, ac votis rite colamus,*
*Prole quibus mortis depulit exitium.*

ἥδ᾽ ὑπάτῳ μὲν Μαριὰμ πεφιλημένη ἔπλετο πατρὶ,
αἷμα πανευφήμων παρθένος ἡγεμόνων.

εἰς τὴν αὐτήν.

ἄγροικος καὶ ἄτεγκτος, ὃς οὐ θεόνυμφε φιλεῖ σε,
καὶ τόκον ἱμερτὸν παρθένε πότνια τεόν.
αὐτὸς μὲν γὰρ ἔφυ τ᾽ ἀγαθὸς καὶ ὑπέρκαλος υἱὸς,
καὶ πάντων ἀγαθῶν αἴτιος, ἠδὲ καλῶν.
καὶ σὺ φίλη μῆτερ τέκνῳ παραπλήσιός ἐσσι
οὖσα λίην ἀγανὴ, καὶ περίαλλα καλή.
οἵα γὰρ εὐῶπις μετὰ τείρεσι δῖα σελήνη,
τοῖα πρέπεις ἁγνοῖς ἐν μακάρεσσι κόρη.
ἀλλ᾽ ἡμᾶς μελέους χαλεπῶν δέσποινα θυελλῶν
ῥῦσαι ἀρήγουσα πρήγμασι ῥαιομένοις.

εἰς τὴν αὐτῆς γέννησιν.

σάμερον εἰς δίας ὑπερίονος ἤλυθεν αὐγὰς
κούρας σεμνοτάτας ἀμβρόσιόν τι θάλος.
τᾶς νυκτὸς κλυτὸν ὄμμα θεοπρεπὲς εἶδος ἀμαυροῖ,
αὐτοῦ τ᾽ ἀελίου λαμπάδα χρυσοφαῆ.
οὐδὲν θαῦμα. θεοῦ υἱὸς ἄφθιτος ἔκτισεν αὐτὰν,
μήδεσιν ἀσκήσας παντελέος σοφίης,
ὥσκεν ἑοῦ τέκνου κεδνὰ γενέτειρα γένοιτο,
καὶ πάντων μερόπων ἄλκαρ ἀκηράσιον.

Ἐν τῷ καμεῖν αὐτὸν ὀξεῖ πυρετῷ κατὰ τὴν τῆς παναγίας παρθένου ἑορτὴν τὴν χιόνος ἐπικαλουμένην.

Εἴθε μοι ἐν ταύτῃ Μαρία μεγαλώνυμ᾽ ἑορτῇ
πέμψειας βαιὸν θεσπεσίας νιφάδος,

ταύ-



*Hæc illa est summo Maria gratissima Patri,*
*Clarorum Virgo sanguine creta Ducum.*

*In eandem.*

*Asper, & agrestis, qui te non diligit alma*
*Sponsa Dei, & sobolem candida virgo tuam.*
*Ipse quidem pollet bonitate, omniq. decore,*
*Atq. omnis pulcri est fons, & origo boni.*
*At tu nil Gnato Genetrix distare videris,*
*Tota bona existens, totaq. pulcra simul.*
*Namq. astra effulget velut inter cætera Luna,*
*Sic præstas superis tu quoq. Diua choris.*
*Sed nos è seuis miseros Regina procellis*
*Eripe, & afflictis prospera rebus ades.*

*In ipsius natiuitatem.*

*Augustæ infantis dias in luminis oras*
*Exortum est hodie germen honorificum.*
*Quæ Lunæ adspectum formæ cælestis honore*
*Perstringit, Solis conspicuamq. facem.*
*Nec mirum. Patris æterni mens condidit ipsam,*
*Perfectæ exornans consilijs Sophiæ,*
*Dilecti vt fieret Genitrix dignissima nati,*
*Cunctorumq. hominum perpetuum columen.*

*Dum ipse graui febre laboraret in sollemnitate sanctiss. Virginis, quæ de niue nuncupatur.*

*O vtinam hac vestra celebri Maria inclyta luce*
*Illius mittas mi niuis exiguum,*

*Olim*

πάνποκ' ἔπεμψας ὄκα σταθμήσαιο θεῖον ἔεθλον
τὴν δέσποινα φίλα, ἅσυ κατ' αἰνεαδᾶν,
ἀνίκα τᾶς χέρσω μαλερὸς πέδον αὖον ἔκαιεν
ἅλιος ἀκτῖσι χλωρὸν ἅπαν δαπανῶν.
δὴ τόκα τᾶς νούσω συγνὰν θέλξειας ἀνάγκαν,
ἅμε καταισμύχει μέσφ' ἀπαλῶν μυελῶν.

Εἰς ἐκκλησίαν τινὰ τῆς πανευφήμου μαρίας τῆς θεοτόκου ἐν πάγῳ τινὶ ἱδρυμένην, πρὸς ξένον.

τίς μακάρων τόδε δῶμα θεοπρεπὲς, ἠδὲ κολωνὸν
αἰπὺν ἔχει; μήτηρ ἡ θεόπαις μαρίη,
ἣ σωτῆρα βροτῶν θεὸν ἄμβροτον, ἠδὲ καὶ ἄνδρα
γείνατο τῆς εὐνῆς ἄμμορος ἀνδρομένης.
γείνατο παῖδα θεοῖο, τὸν οὐ χάδεν ἄσπετος αἰθὴρ,
κτίστορα τῆς ἰδίης μητρὸς ἀριστογόνου.
ἔστι δ' ἀμήτωρ αὐτὸς ἐν οὐρανῷ, ἐν χθονὶ δία
ἔστ' ἀπάτωρ, ἥρως παντοκράτωρ διφυής,
ἀλλὰ σύγ' ὧδε σέβου θεομήτορα παρθένον ἁγνήν.
πάντα γὰρ ὅσσα θέλει καὶ τελέσαι δύναται.

εἰς τὸν αὐτῆς ναὸν τὸν ἐν λωρήτῳ ᾠκοδομημένον.

τόνδε δόμον, νηόν τε θυώδεα, καὶ πάγον αἰπὺν
ἁ γενέτειρα θεοῦ παρθένος ἀμφιέπει.
πᾶς τις ἀνὴρ, θείας τε γυνὰ ἐπιμαίεται ἀλκᾶς,
ἐνθάδ' ἐπειγέσθω, καὶ πόθου ἀντιάσει.
ἁγνὰ γὰρ βασίλεια μελίφρονα θυμὸν ἔχουσα,
οὔτιν' ἀποστείχειν οἴκαδ' ἐᾷ κενεόν.

εἰς τὸ



*Olim quam misti, dum clara in sede Quiritum*
*Fundares templum, candida Diua tibi.*
*Tempore quo longis flagrabat solibus æther,*
*Absumens viridis germina cuncta soli.*
*Tum mihi præberes tristis solatia morbi,*
*Qui me conficiens intima ad ossa cremat.*

*In ecclesiam quandam semper laudandæ Virginis Deiparæ in quodam colle sitam ad hospitem.*

*Quis tenet augustam sedem hanc, collemq. supinũ*
*Cælestum? Mater Diua Maria Dei.*
*Quæ Saluatorem genuit hominemque, Deumq.*
*Humani prorsus nescia Virgo thori.*
*Progenuit gnatum, quem nõ capit altus Olympus,*
*Qui fuerat matris conditor ante suæ.*
*Namq. caret patre in terris, & in æthere matre,*
*Natura duplici præditus Omnipotens.*
*Quare age virgineæ Matris hic numen adora,*
*Nam præstare valet quæ bona cumq. velit.*

*In ipsius Virginis templum in Loreto ædificatum.*

*Hancce domũ, ac templũ redolens, collẽq. supinũ*
*Custodit præses casta Dei Genitrix.*
*Quisquis opem gestit seu vir, seu fœmina apisci,*
*Huc pede festinans præpete, compos erit.*
*Namq. gerens mentẽ nimium Regina benignam*
*Haud vllum cassum munere abire sinit.*

*In*

εἰς τὸ αὐτό.

Θεσπεσίων χαρίτων ζωθάλμιον ἐνθάδε παγὰν
ἐκβλύζει Μαριὰμ παρθένος ἁ θεόπαις.
νάματος ἀμβροσίου λαοὶ ἀρύσσασθε μολόντες
τοῦδε, χαρίζεσθαι πᾶσιν ἄνασσα θέλει.
οἷς γὰρ ἔλυσε γονᾷ θεοκύμονι λυγρὸν ὄλεθρον
τοῖσιν ἐφορμαίνει πᾶσαν ὄνασιν ἄγειν.

εἰς τὸ αὐτό.

οὐρανίας νύμφας τόδε δέμνιον ἁγνὸν ἑταῖροι
ἔσκεν, ἐν ᾧ πρῶτον πρὸς φάος ἦλθε βίου.
ἐν δὲ καλῇ ἐθρέφθη, καὶ ἀέξετο κουρίζουσα,
αὖθος ἀγακλειτῶν ἔκπροθεν ἡγεμόνων.
καὶ θεῖον εὔφαμον λάβε θεσκέλου ἀγγελιώτου,
ἔλλαβε δ' ὑψίστου νηδύϊ παῖδα θεοῦ.
ἐν δ' ἄσκησε κόρα καλὰ μυρία. τοῦτο σέβεσθε.
οὐ γὰρ ἐν ἀνθρώποις χρῆμά τι σεμνότερον.

εἰς τὸ αὐτό.

ἄλλος ἐπὶ ξείνης περόων βαθυκύμονα πόντον
φοιτήσαι κέρδους ἀμφὶ μινυνθαδίου.
ἀρτίφρων δέ τ' ἀνὴρ τεὸν ἄσμενος οἶκον ἵκοιτο,
ὦ Μαρίη, δειλῶν ἐλπὶς ἐφημερίων.
οὕνεκα σοῖς ἱκέταις ἀγαθοῖς πάντεσσι βρύουσα
ἄφθιτα δῶρα πορεῖς, ἄφθιτον ὄλβον ἄγεις.

εἰς τὴν αὐτήν.

Δῖα τριὰς Μαρίῃ ποθ' ὑπέστη τεύξεμεν ὅρμους
χρυσείους, στικτοὺς στίγμασιν ἀργυρέοις.
φημὶ δὲ βούλεσθαι τῇ χαλκεύεσθαι ἐραννοὺς
ὕμνους σὺν σοφίῃ, καὶ καλῇ εὐεπίῃ.
διὰ διαρρήδην γὰρ χρυσὸς τίμιος ἡμῖν
ταῦτα παρεμφαίνει, καὶ νιφὰς ἀργυρέη.

Τοιγὰρ



*In idem.*

*Donorum euergit Maria hic vitale fluentum*
*Sacrorum, Genitrix Principis alma Dei.*
*Diuinos latices populi huc haurite profecti.*
*Præbere hos cunctis Diua benigna cupit.*
*Nam quibus exitium cælesti prole fugauit,*
*His itidem adsiduum ferre iuuamen auet.*

*In idem.*

*Cælestis sponsæ hic thalamus, castumq. cubile,*
*In lucem, ò socii, quo genita emicuit.*
*Ipsa sub hoc humili creuit generosa ligello*
*Paruula, magnorum clara propago Ducum.*
*Fausta sub hoc cepit diuini nuncia partus*
*Omina, concepit progeniemque Dei.*
*Milleq. virtutes, & honesta exercuit acta,*
*Hoc colite. in terris nil venerabilius.*

*In idem.*

*Alter ad externas sectans compendia terras*
*Fluxa procellosum per mare tendat iter.*
*At sapiens tua templa volens augusta reuisat*
*Aegrorum ò columē, spesq. Maria hominum.*
*Quippe bonis pollens cunctis largiris abunde*
*Munera supplicibus non peritura tuis.*

*In eandem.*

*Aurea Diua Trias se velle monilia dixit*
*Argenti Mariæ condere cum maculis.*
*Velle, inquam, dulcis olli conflarier hymnos,*
*Ornatos sophiæ gratia, & eloquij.*
*Alterum enim nobis fulgor denunciat auri,*
*Alterum at argenti candor habet niueus.*

Q Quare

τοιγὰρ ὑφαίνωμεν ταῖν δήμματα τοῖα, καὶ ὅρμους,
καὶ γναμπτὰς ἕλικας νύμφῃ ἰοπλοκάμῳ.
καὶ ταύτην κοσμῶμεν ὅσοι δυνάμεσθα τόδ᾽ ἔρδειν.
οὔτ᾽ αἴνεται μᾶλλον πρὸς χάριν οὔτι θεῷ.

Εἰς ἁγίαν σωτῆρος ἡμῶν γέννησιν.

Αἰὼν γηγενέσι χρύσεος ἀμφύει.
χρυσὸς γὰρ σταλάει ξανθὸς ἀπ᾽ αἰθέρος.
μῦθος δ᾽ οὐ Δανάας τοῦτο παλαίφατος
ὤνου γιγνομένου Διός.
ἁμᾶς δ᾽ ἀρνύμενος λύτρον ἔφυ θεὸς,
τὸ χρυσοῦ γέγονε κρέσσον ἀγάνορος,
ἐμπλήσας τε κόρας χαλὸν ἁγνᾶς πένης
τὸν πλοῦτον πόρεν ἀτρεκῆ.
ὠδὶν ὦ μελέοις ἄμμι βιοσσόος·
τᾷ τάμνη βασιλεὺς ἔμπεδον ὅρκιον,
καὶ κτιτοῖς προχύσει γ᾽ αἵματος οὐρανοῦ
ἐννάσσῃ φυγάδας δόμοις.
τίς φωνὰν ἐνέποι θ᾽ ἁδέα χάρματα,
ὧν ἁ γεινομένα γνοῦσαν ἴδρις θεοῦ,
ὡς φῶς λαμπρότερον νυκτιφαῶν πυρῶν
ἄντρου λάμψεν ὑπαὶ μυχῷ.
ὦ βαιόν περ ἐὸν δῶμα πανόλβιον.
οὐκ εἰκᾷ ναέταις ναστὸν ὀλυμπίοις,
κἂν μικρὸν μεγάροις ἰσοπαλὲς πόλου,
ἑστῆνος μέγ᾽ ἀνάκτορον.
ποίαις δὴ καναχαῖς αἰθέριαι πλάκες
ἀπύοντι, χορὸς τᾶμος ὅκ᾽ ἔνθεος
τὸν παιᾶνα κροτεῖ τᾷδε δονῶν ἔπη





*Quare texamus redimicula talia Sponsæ,*
*Et virias, violæ cui coma flore nitet.*
*Atq. ipsam ornemus, potis est qui talia obire.*
*Quando nihil consit gratius hocce Deo.*

*In sanctam Saluatoris nostri Natiuitatem.*

*O iam terrigenis aurea sæcula.*
*Aurum nam rutilans rorat ab æthere.*
*Nec prisca hæc Danaes fabula mentiens*
*Mutati in pretium Iouis.*
*Nostrum nos redimens fit pretium Deus,*
*Auri quod pretio fit pretiosius.*
*Arcellamq. replens Virginis integræ*
*Hic veras dat opes inops.*
*O partus miseris uera salutifer,*
*Quo Rex terrigenis foedera sanciat,*
*Et partas pretio sanguinis exsules*
*In cæli reuehat domos.*
*Sed quæ vox referat dulcia gaudia,*
*Quæ sensit pariens conscia numinis,*
*Cum lux sydereis clarior ignibus*
*Antri fulsit in abdito.*
*O felix nimium parua domuncula,*
*Non frustra superis peruia ciuibus,*
*Quamuis parua poli æquanda penatibus*
*Magni regia Principis.*
*Quo cæli resonant carmine compita,*
*Cum demissa polo turba sonorius*
*Hic pæana canit, carmina proferens.*

πανσέμνῳ τόκῳ ἐμπρεπῆ.
ὦ κρείοισα πόλου μόνα ἁγνὰ λεχώ,
κόρα τ' ἀμφ' ὑπάτῳ πρεσβυτάτα δόμῳ,
οὐ σοῖς δῶρα φέρειν δμωσὶν ἀναίνεο
ἁμῶν τὺ κλέος ἔξοχον.
τύνη δ' ὦ γλυκερὰ παρθένου εὐκλέος
συγγνώμας ἀγανᾶς ἔντυε δωρεᾷ
ἁμᾶς, ὡς πυκάσαι στέμμα σὺν ἀγλαὸν
κόρσαν κύδεϊ φαιδίμῳ.

εἰς τὴν αὐτήν.

μᾶτερ ἀχράντα φυγόδεμνε κόρα,
φῦσαι πεπτηκὸς γένος ἐξεγεῖραι,
πρὸς τεὰν πόντος γάνυται λοχείαν,
γᾶ τε καὶ ἄστρα.
οὐρανέων τέκτων, ταμίας τε πάντων,
ὃς λόγῳ θνατῶν μορφέντα γυῖα
ἔδυτο, κωκύει σέο πότνα κόλπῳ,
οὔθατι χαίρει.
πρός σ' ἐπείγονται νομάδων ὀπαδοί.
ζῶά σ' ἀμφερέθη θεόπαιδα δοιώ,
ἄγγελοι σαπρᾶς ὑπὲρ ἀπύοντι
τὸ στέγος αὐλᾶς.
φῶς τόδ' αἰῶνος ἐπιόντος ἀρχά.
τῷ θεοῦ νύμφα τέκες υἱὸν ἁγνά.
ἄμμι τοῦτ' εἴη θεότιμον αἰεί,
ἠδὲ μέγιστον.
ἔσκεν εἰράνα πρεύτα καὶ ἀοῖ,
ἁνίκ' εἰράνας θάλε σεῖο δώτωρ
γαστρός, εἰράνα βροτέᾳ γενέθλᾳ
τοῦ χάριν εἴη.





*Sacro debita partui.*
*O Regina poli sola puerpera,*
*Ac Virgo in supero prima palatio,*
*Non hic dona neges ferre clientibus,*
*Nostri tu decus optimum.*
*At tu progenies Virginis inclytæ,*
*Sic nos nunc veniæ munere præpara,*
*Vt tandem emeritos nos tua fulgidis*
*Cingat gloria laureis.*

*In eandem.*

*Mater haud vllo temerata tactu,*
*Orta collapsum renouare sæclum,*
*Ad tuum rident mare, terra, & ipsa*
*Sydera partum.*
*Omnium factor, Dominusq. rerum,*
*Membra qui verbo moribunda sumpsit,*
*In tuo vagit gremio, tuoque*
*Vbere gaudet.*
*Te citi visunt ouium magistri,*
*Te Dei agnoscunt duo bruta matrem.*
*Angeli psallunt super obsoleti*
*Tecta mapalis.*
*Illa lux felix redeuntis æui,*
*Qua Dei natum paris alma Virgo,*
*Illa sit nobis in honore, sitq;*
*Maxima semper.*
*Pax sub occasu fuit, & sub ortu.*
*Cum tua pacis dator exit aluo.*
*Pax sit humano generi perennis,*
*Te Duce Virgo.*

## Εἰς τὴν ὑπαντὴν τοῦ σωτῆρος ἡμῶν.

Βάρβιτον θέρσαι ποτὶ πατρὸς ἁμῶν
ἀφθίτω, κόρα, κροτέοιμι τύ σε,
παῖδά τε κλαϊστὸν φθορεᾶς ἄτερθε
νηδύϊ λώβας.
οὖλος ἐμβαλοῦ κατιὼν, καὶ οὖλος
κεῖθι μιμνάζων, καὶ ἑκάστοτ' οὖλος,
εἵλετ' ἀνθρώπου ῥέθος ἐνδύων σε
ματέρα κεδνάν.
τόνδε σοῦ κλαιστρῷ λαγόνων λαθόντα
τὸ βρέφος μήπω γεγονὸς σεβίζει.
τοῖο δ' αὖ κλέει, κελαδεῖ τ' ἔλευσιν
πᾶσα γενέθλα.
παντὸς ἀντ' ἔθνευς ὅδ' ἄποινα πῖσεν,
φράσσατ' ἄγνωστον σιμεὼν, παρεστὰς
οὗ τε πρὸς βωμὸν, μέγα χάρμ' ἰαίνει
σὰν φρένα δῖαν.
οὗχος ὦ θνατῶν, μακάρων τε φύλω,
ἅσπερ ἄψαυστον θεὸς οὖθαρ εἵλξε.
δὸς χορούς ἁμῖν, λίτομαι, ποτ' ἀθρεῖν
εὐσεβεόντων.

## Ἐπικήδιον εἰς τὴν ταφὴν τοῦ κυρίου, καὶ σωτῆρος ἡμῶν.

ὃς γαῖαν ποτ' ἔτευξε καὶ οὐρανὸν ἀστερόεντα,
ἠδὲ σελήνην, καὶ φαέθοντα μέγαν.
συριγμούς τ' ἀνέμων, καὶ ἀπείρονος οἶδμα θαλάσσης.
καὶ βροντῶν πάταγον, καὶ σέλας ἀστεροπῶν.





## *In Præsentatione Domini nostri.*

*Ora ab æterno Genitore nobis*
*Barbiton, quo te referam, tuumque*
*Filium Virgo sine labe clausum*
*Integra in aluo.*
*Totus e cælo veniens, & illic*
*Totus adsistens, & ubique totus*
*Legit humanos subiturus artus*
*Te sibi matrem.*
*Hunc tui claustris uteri latentem*
*Editus nondum veneratur infans.*
*Huius aduentum canit omnis ætas,*
*Sexus & omnis.*
*Ipse pro toto datur orbe vas, hunc*
*Noscit ignotum Simeon, ad aram*
*Cum prius sistis. tibi magna tangunt*
*Gaudia mentem.*
*O decus nostræ, superæq. gentis,*
*Cuius intactum Deus vber hausit.*
*Da, precor, nobis hilares piorum*
*Visere cœtus.*

## *Epicedium in sepulturam Domini, & Saluatoris nostri.*

*Qui molem terræ, qui cælum, & sydera fecit,*
*Qui Lunæ, ac Solis lampada conspicuam.*
*Flabraq. uētorū, et glaucas tumidi æquoris undas*
*Et tonitrus strepitum, & fulguris acre iubar.*

ἀνθρώπων τε γένος, καὶ ὁμήγυριν οὐρανιώνων,
   ὅσσά τ' ἄφαντα βροτοῖς, χ' ὁπόσα δῆλα φανῆ.
ἔστι ἀείζωός περ ἐὼν θεοῦ ὑψιμέδοντος
   υἱός, ἵν' ἀνθρώπων δύσμορα φῦλα σάοι,
εἰς πλάκας εὐρυπέδου γαίης, καὶ νέρτερα κόσμου
   μουνογενὴς κάββας ἄντυγος αἰθερίης,
ἀνθρώπου βροτέην τε θεὸς ἐνεδύσατο μορφήν,
   καὶ δέμας ἀνθρώπων δημιοεργὸς ἐών.
ὢν ταμίης ζωῆς πατρώϊον εὖχος ἀείρων
   ἀθρόον, αἰῶνός τ' ὢν καθύπερθεν ὅλου.
πὰρ δ' ἡμῖν τριάκοντα τελειομένων ἐνιαυτῶν,
   σταυρῷ ἐν ἀργαλέῳ φαίδιμα γυῖα ταθείς,
ἥλοισι χερὸς ἧκε πεπαρμένου ἔνθεον αἷμα,
   ἡμετέρων ἁγνὸν ῥύσιον ἀμπλακιῶν.
ὥς κ' ἄλλοις ῥύσαιτο τανηλεγέος θανάτοιο,
   κάτθανε, καὶ ζωῆς ἄμμι λέλοιπε χάριν.
τόσσα δ' ἄναξ ἐτάλασσε φερέσβιος ἄλγεα λυγρά
   οὔτι ἄνευ γνώμης οὗ γενέταο φίλου.
ἀλλ' ἡμέας στέργων ὅγ' ἀεικέα πότμον ἐπισπεῖν
   ὃν γόνον ἱμερτὸν πέμψεν ἑκόντι νόῳ.
πέμψε γόνον τριπόθητον ἀτέρμονι συνθρόνον ἕδρῃ
   εἰς μόρον, ὡς δούλοις ἐξερύσειε μόρου.
ὦ χάριτος βαθὺ χεῦμα, καὶ οἰκτιρμοῖο κρατίστου
   ἡμῶν κηδομένου πατρὸς ἐπουρανίου.
τῆς δ' εὐεργεσίης οὖν μνήμονα θυμὸν ἔχοντες
   τόνδε σαωτῆρι τύμβον ἑτοιμάσαμεν,
ἐν δέ τ' ἀλεξιμόρου θέμενοι δέμας ἁγνὸν ἄνακτος
   μυστιπόλοι κῆδος τοῖο τελοῦμεν ἔται.



*Et genus humanum, cælestiaq. agmina Diuum,*
   *Quaq. latent oculis, quaq. adaperta patent.*
*Is licet excelsi sit proles Regis olympi,*
   *Posset vt humanum viuificare genus,*
*Terrai in campos descendit, & infima mundi*
   *Vnicus ex altis sedibus æthereis,*
*Induit humanosq. artus, formamque virilem*
   *Humani generis conditor, atque sator.*
*Qui vitam præbet, qui maiestate paterna*
   *Pollet, & est sæclis omnibus anterior.*
*Expletisq. annis nobiscum ter decem & vltra,*
   *In dura extentus membra decora cruce,*
*Corpore confosso clauis, commissa piauit*
   *Humana, effuso sanguine cuncta suo.*
*Vtq. alios morte eriperet, mortem oppetit ipse,*
   *Et vita est nobis gratia facta reis.*
*Tot mala Rex noster, tot tædia pertulit almus*
   *Propenso Patris non sine consilio.*
*Verum ipse indecorem mortem, lætumq. subire*
   *Nos misit prompto numine pignus amans.*
*Consortem imperij gnatum ter misit amatum*
   *Ad mortem, vt seruos morte truci eximeret.*
*O pietas immensa patris & gratia summi*
   *Dignati nostris consuluisse malis.*
*Ergo huius doni memores, factique benigni*
   *Saluatori almo struximus hunc tumulum.*
*Condentesq. intus corpus venerabile Regis*
   *Aeditui explemus funeris officium.*

*In festo sanctarum Virginum hymnus e latino in græcum versus.*

*Iesu corona Virginum*
*Quem mater illa concipit,*
*Quæ sola virgo parturit,*
*Hæc vota clemens accipe.*
*Qui pascis inter lilia*
*Sæptus choreis virginum,*
*Sponsus decorus gloria,*
*Sponsisq; reddens præmia.*
*Quocumq. pergis, virgines*
*Sequuntur, atq. laudibus*
*Post te canentes cursitant,*
*Hymnosq; dulces personant.*
*Te deprecamur, largius*
*Nostris adauge sensibus,*
*Nescire prorsus omnia*
*Corruptionis vulnera.*

*Ad Spiritum sanctum.*

*Veni Sancte spiritus,*
*Et emitte cælitus*
*Lucis tuæ radium.*
*Veni Pater pauperum,*
*Veni dator munerum,*
*Veni lumen cordium.*
*Consolator optime,*

*Dulcis*



Ἐν τῇ ἑορτῇ τῶν ἁγίων παρθένων ὕμνος, ἐκ τῆς λατινίδος γλώττης εἰς τὴν ἑλληνίδα μεταφρασθείς.

Ἁγναῖ ἰησοῦ παρθένων
στέμμ', ὃν φύει τήνα κόρα,
ἄχραντος ἃ τίκτει μόνα
τὰς δ' εὐμενὴς ἀρὰς δέκου.
κείνοις ὃς ἐν νιφαργέσιν
νέμῃ χορείαις παρθένων·
γαμβρὸς τυχαθεὶς ἐκπρεπὴς
ἄποινα νύμφαις προσνέμων.
ὅπα μόλοις χ' ἡρωΐδων
ἀμορβάδων σεμνὸς στρατὸς
φοιτῇ, μέλος τ' ἐγκώμιον
ὄμφᾳ λιγαίνει λειρίῳ.
τὺ λισσόμεσθα δαψιλὲς,
ἀμῖν πρόσαυξε ταῖς φρασὶν
τὰ λυγρὰ πάμπαν ἀγνοεῖν
διαφθορέων ἕλκεα.

πρὸς ἅγιον πνεῦμα.

Ἐλθὲ πνεῦμα παναγὲς,
κἀπόπεμψον οὐρανοῦ,
τῆς τεῆς αὐγῆς χάριν.
ἐνδεῶν ἔλθ' ὦ πάτερ,
ἐλθὲ δῶτορ δωρεῶν,
ἐλθὲ φῶς τὸ καρδιῶν.
εὐθαλὴς παρηγόρος,

R 2 ψυ-

*Dulcis hospes animæ,*
*Dulce refrigerium.*
*In labore requies,*
*In æstu temperies,*
*In fletu solatium.*
*Lux o beatissima,*
*Reple cordis intima*
*Tuorum fidelium*
*Sine tuo numine*
*Nihil est in homine,*
*Nihil est innoxium.*
*Laua quod est sordidum,*
*Riga quod est aridum.*
*Sana quod est saucium.*
*Foue quod est frigidum,*
*Flecte quod est rigidum,*
*Rege quod est deuium.*
*Da tuis fidelibus,*
*In te confidentibus,*
*Sacrum septenarium.*
*Da virtutis meritum,*
*Da salutis exitum,*
*Da perenne gaudium.*





ψυχέων συνέστιος,
προσφιλὴς παραψυχή.
καλὸν ἄμπνευμ' ἐν πόνῳ,
εὐκρατὴς αὔρ' ἐν θέρει,
πάρφασίς τ' ἐν πένθεϊ.
αἴγλη ὦ μακαρτάτη,
ἤτορος πίμπλα κύτος
τῶν τεῶν πιστῶν βροτῶν.
τῆς πνοῆς ἄνευ σέθεν
οὐδὲν ἀνθεῖ ἐν φρεσίν,
οὐδὲν ἀσκηθὲς μένει.
λοῦσον ἡμῶν λύματα,
αὐχμὸν ἄρδε στηθέων
λύγρ' ἴησαι τραύματα.
κάμψον ἀστεμφὲς κέαρ,
θάλπε ψυχρὸν σῷ πυρὶ,
λοξὸν εὐθὺ μήδεο.
δὸς τεῶν πιστῶν γένει,
ἀλκὶ σῇ πεποιθότων
ἱερὴν σὴν ἑπτάδα.
ἠθέων δὸς εὔκλειαν,
δὸς τυχεῖν σωτηρίας,
καὶ χάριν διηνεκῆ.

## Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Συμπλικιανοῦ τῶν μεδιωλανέων ἐπισκόπου, καὶ πολιούχου βίος.

Συμπλικιανὸς ἔχει προτερήματα τίμια πολλὰ
ἡμέτερος ποιμὴν, πολλά τε θεῖα γέρα.
πρῶτον, ὅτ' ἤνθησε κλειναῖς ἀρεταῖς τε, καὶ ἁγνοῖς
ἤθεσιν, εὐσεβίης κύδεΐ τ' ἠγαθέῳ,
ἀλλὰ τόδ' ἐκ πάντων λαμπρὸν ποίησε τὸν ἄνδρα,
τοὔξετ' ἀείμνηστον, τοὔξεθ' ἅπασι κλυτὸν,
ὅττι δαημοσύνη, καὶ ἐπιφροσύνη ἐκέκαστο
παντοίη, γνώσει θεσπεσίων τε γραφῶν,
τῇ πολλοὺς σκοτίης ἀθέου ποτὶ φέγγος ἀνεῖλκε
τῆς θεογνωσίης, καὶ βίον οὐράνιον.
δυσσεβέων τε πρόμον τὸν ῥήτορα βικτωρῖνον,
ὅσγε πλάνη ῥώμην ἐν κρυερῇ κάτεχεν,
τρέψεν ἀληθείης θεοειδέος εἰς τρίβον ὀρθὴν,
σὺν σφῶν τ' ἀρχηγῷ πλῆθος ἀπειρέσιον.
ψευδαλέων τ' εἴδωλα θεῶν ποίησεν ἀφαυρὰ
πάμπαν ἀπαρνεῖσθαι, ζῶντα θεόν τε σέβειν.
οὗτος ἐπῆλθε πατὴρ ἀποδημέων ἄστεα πολλὰ,
καὶ λαοὺς, χριστῷ πάντας ἄγειν ποθέων.
τόσσον γὰρ φλέγεν αὐτὸν ἔρως, ἀγάπη τε θεοῖο,
ὡς μεθ' ἕθεν σώζειν ἔθνεα πάντα θέλειν.
κήδετο τῶν χηρῶν πρόφρων, πάντων τε πενιχρῶν,
οἷα πατὴρ παίδων μειλίχιος σφετέρων.
τόνδε μέγ' ἀμβρόσιος, καὶ αὐγουστῖνος ἐτίμων
τίμιον ἄνδρα θεῷ, καὶ μακάρεσσι φίλον.
ἀμβρόσιός τε μέγας, πρὶν ἐς αἰθέρα δῖαν ἀπελθεῖν,
ἔφρασε τῆς ἕδρης ἄξιον ἔμμεναι ἑῆς.

τῷ-



τῷ ῥα κυβερνητὴρ, καὶ ἐπίσκοπος αὐτὸς ἔγεντο
τοῦ μεδιωλανέων ἄστεος εὐγενέων.
ἀμφ' ᾧ πολλὰ κρατὺς κάμεν ἥρως, θέσκελά τ' ἔργα,
δεσπότῃ ὢν πιστὸς, καὶ συνετὸς σφετέρῳ.
ἧς τε θεοφροσύνῃς σωτήριον ὄλβον ὑφήνας
πᾶσι, μετήλλαξε λῆξιν ἐς οὐρανίην.

## Εὐχὴ πρὸς τὴν ἁγίαν μαρίαν τὴν μαγδαλινήν.

Τηλόθεν ἐκ πάτρης, τὴν βρεξίαν εὔχομαι εἶναι,
ἐκ ψυχῆς φιλέων σε θεηδόκε δῖα γυναικῶν
ἦλθον ἐποψόμενος τὰ πολύλλιτα λείψανα σεῖο
αἰνὰ παθὼν κατὰ γῆν τε καὶ ἠεροειδέα πόντον.
νῦν δὲ τυχὼν ἤδη ταύτης πολυηράτου εὐχῆς,
λίσσομ' ἄνασσα πάλιν δὸς πατρίδα γαῖαν ἱκέσθαι
καὶ προτέρων καμάτων τε, καὶ ἀτέων ἐκτὸς ἁπασῶν.
τοῦτο δ' ἐμοὶ πάντων ξεινήϊον ἔσσετ' ἄριστον.

## Εἰς τὴν εἰκόνα τοῦ ἁγίου πέτρου τῶν ἀποστόλων κορυφαίου.

Τὸ στόμ' ἀποστολικοῦ χοροῦ ἄκρον, κῦδος ἄνακτος
αἰθερίου, μακάρων πρεσβυτάτη κορυφή.
πίστιος ἀρραγέος τὸ θεμείλιον ἀσφαλὲς αἰεὶ,
κλειδοῦχός τε πόλου κλεινὸς ὅδ' ἐστὶ πέτρος.

εἰς τὸν αὐτόν.

οὗτος ὁ κηρύκων τῶν θείων θεῖος ἄωτος,
τοὺς θεὸς ἐξ ἄλλων εἵλετ' ἐφημερίων.
στῆσε δὲ τόνδ' ἀρχηγὸν, ἐπεὶ μάλα θερμὸς ἔγεντο,
κλεῖδά τε τοῦ βηλοῦ δῶκέν οἱ αἰθερίου.

εἰς

εἰς τὸν αὐτόν.

τόνδε σέβου φίλε δῆμε τὸν ἰχθυβόλον πρὶν ἐόντα,
νυνὶ δὲ τῆς ἀγέλης ποιμένα τῆς ἱερῆς.
κληδοῦχόν τε πόλου θαλάμων μέγαν ἀστερόεντων,
οὐ γὰρ ἄνευ κείνου κεῖσέ ποτ' εἰσελάσεις

Εἰς τὴν εἰκόνα τοῦ ἁγίου πετρωνίου τοῦ τῆς βονωνίας προστάτου.

ὅς ποτ' ἄγαλλε πόλιν ζαθέοις δαιδάλμασι ταύτην,
καὶ τεθμοῖς ἱεροῖς, ἤθεσί τ' ἠγαθέοις,
αὐτ' ἐτύμου γραπτόν νιν ἐθήκαμεν ὧδε πολῖται
τόν τε πολιοῦχον, καὶ πρόμον ἡμέτερον.

εἰς τὸν αὐτόν.

ἠνίδε φελσίνη σέο κύδιμος ἱεροφάντης,
ὃς μάλα κύδηνε τὸ κλυτὸν ἄστυ τεόν.
οὐδὲ μόνον σηκοὺς μακάρων ἱδρύσατο πολλούς,
ἀλλ' ὅγε καὶ βίβλοις ἐξεπόνησε σοφαῖς.

εἰς τὸν ἅγιον πρόκλον τὸν μάρτυρα.

πρόκλος ἐγώ, συρίη δὲ πατρίς μοι, ἐπίσκοπος ἦμην.
εἵνεκ' ἀληθείης δ' αἷμα χέας ἔθανον.
σῶμα δ' ἐμὸν κατέθαψε βονωνίης πόλις ἱρή,
τὴν φρουρῶν, ψυχὴν δ' οὐρανὸς εὐρὺς ἔχει.

περὶ τοῦ ἁγίου φραγκίσκου πρὸς ξένον.

οἶσθα τίς ἐστιν ἐκεῖν' ὤνθρωπε; φαάντατος ἀστήρ,
ὃς κατέλαμψεν ὅλον κόσμον ἑαῖς ἀρεταῖς.
σχῆμα φέρει τί δὲ τοῦτο; θεοκτίστην μετάνοιαν.
ἢ γὰρ ἅπας τούτου σταυρὸς ἔην βίοτος.

Τοῦ πρώτου βιβλίου τῶν θείων ὕμνων
Τέλος.





Ἀσπάζεται τὸν ἀπόστολον παῦλον, καὶ τὴν αὐτοῦ βοήθειαν ἐπικαλεῖται, ὃν καὶ μέλλει ἐπαινεῖν.

Χαῖρε κύδιστον φάος,
ἡλίου φαάντερον
πασέων ἐκκλησιῶν,
θεῖε παῦλ' ἀπόστολε,
ἄστρον ἄκρον αἰθέρος,
ὃς βαλῆνος ἀμβρότου
δεῖξας αἴγλην ἔνθεον
ἐθνέων τυφλῷ γένει.
γῆς δ' ἔπι σταθμοὺς ἔχων
αἶπος ἦλθες οὐρανοῦ,
καὶ τὰ μὴ θνητοῖς θέμις
ἐκφράσαι, θηήσαο.
ἀλλὰ τῷ σῷ προστρόπῳ,
σὺν πέτρῳ συνήμονι,
χεῖρα δὸς σεμνὴν μάκαρ,
σὺν πρόφρον τ' ἐφάπτεο.
οὐ θέμις μὲν γάρ τινι,
σῆς ἀρωγῆς ἀμμόρῳ
σὸν κλέος κηρυσσέμεν,
οὐδ' ἀνυμνεῖν ἔργματα.
συλλαβοῦ δ' οὖν φαίδιμε,
καὶ μετ' ἦμαρ λοίσθιον
ἆξον εἰς θεοῦ δόμον,
τοὺς ποίησας ἀγλαὸν
φῶς ἰδεῖν θεογνωσίης.

ΥΜΝΟΣ ΠΕΡΙ ΤΩΝ ΘΕΙΩΝ
ἀρετῶν, καὶ ἀνδραγαθιῶν τοῦ μεγάλου Παύλου,
ταρσέως τοῦ ἀποστόλου, ἐν ᾧ καὶ ὁ κορυ-
φαῖος πέτρος ὁμοῦ ὑμνεῖται,
καὶ ἐγκωμιάζεται,
πρὸς Ἀντώνιον Καράφαν Νεαπολίτην Καρ-
δίναλιν ἐπιφανέστατον, καὶ
ἐλλογιμώτατον.

ΠΑρθενόπης μέγα κῦδος ἀγακλέος,
ἠδὲ κρεούσης
πασάων ῥώμης πολίων, θεόμοιρε
Καράφα,
ὑμνοπόλος σεμνὴν περίφρων ὑποδέ-
χνυμ' ἐφετμὴν
ὑμετέρην, ὅπως ἐπέων ταρσῆα ῥοῇσι
θεσπεσίης δοίην παῦλον, κήρυκα κράτιστον
ἀενάου βιότοιο, καὶ αἰπήεντος ὀλύμπου,
ἄστρον παμφαῖνον βροτέου αἰῶνος ἀμαυροῦ,
δεξιτερῆς γεγαῶτα καλὸν γόνον, ὡς κλύε φυλή.
ἦ γὰρ καὐτὸς ἐγὼ πεδόθεν παύλοιο τὸ λῆμα
ἔνθεον ἠγάσθην μακάρων περιώσιον ἄλλων,
ἠγάσθην θυμόν θ' ἱερῶν ἀκόρητον ἀγώνων,
καὶ σπουδὴν ἀλίαστον ἁμιλλᾶσθαι περὶ τιμῆς
οὐρανίου βασιλῆος, ὃς αὐτὸν σῶσε καλέσας





*HYMNVS DE DIVINIS VIR-*
*tutibus, fortibusq. magni Pauli Tarsensis Apo-*
*stoli factis, in quo etiam columen Apo-*
*stolorum Petrus simul celebra-*
*tur, & commendatur.*
*Ad Antonium Carafam Neapolitanum Cardi-*
*nalem Illustrissimum, ac præ-*
*stantissimum.*

*PArthenopes decus illustris, Romæq.*
*potentis,*
*Terrarum Dominæ, prompto tua iussa Carafa*
*Pectore complector, donis cælestibus*
*aucte,*
*Hymnidicus vates, diuino ut carmine Paulum*
*Tarsensem celebrem, præconem fine carentis*
*Egregium vitæ, nec non sublimis Olympi,*
*Mortalis sæcli lumen, sydusque coruscum,*
*Ceu tribus ipsa sonat, pignus prænobile dextræ.*
*Quippe & ego à puero Pauli virtutis amator*
*Ipse fui semper, sumq. admiratus eumdem*
*Præ cunctis Diuis, sacrorum & pectus agonum*
*Semper inexpletum, & studiũ contendere honore*
*Pro Regis superum, qui cæco errore vocando*

οὐλομένης τε πλάνης, καὶ ἀχλύος αἰνομόροιο,
στήσατό τ' ἀρχηγὸν λαῶν, καὶ ἀπόστολον ἐθνέων
παντοδαπῶν, θάλπει μαλεραῖς τάπερ ἥλιος αὐγαῖς.
τοῦτο δ' ἀοιδάων χρέος ἔπλετο οἷον ἀπ' ἄλλων,
φῶτας ἀριπρεπέας τ' αἰνεῖν, καὶ ἀείδεμεν ἐσθλούς.
οὐχὶ δι' ἀνθρώποις λιτοὺς μελιγάρυας ὕμνους,
οὐδὲ λύρην, μελέων τε θέσιν, καὶ μοῦσαν ἐραννὴν
μητιέταο θεοῦ νόος ἄφθιτος ἤγαγεν εἰς φῶς,
ὤπασέ τ' ἀλφησταῖς πολυτερπέ' ἀθύρματ' ἀοιδοῖς,
ἀλλὰ δι' ἡρώων ἀρετὴν, ἠδ' ἔργματ' ἀγαυὰ
δῶκε θεὸς ῥυθμούς τε, καὶ ἀγλαΐην μελίκομπον
φόρμιγγος γλαφυρῆς, ἀδινῶν θελκτήρι' ἀνιῶν.
δῶκέ τ' ἀειδόντεσσιν, ἵν' ἠγαθέων κλέα φωτῶν,
ἔργα τ' ἐπικλείωσιν ἀγακλυτὰ θέσπιδι μολπῇ.
δῶκε δ' ἐμοὶ πρῶτον μὲν ὅπως ἡρωΐδα μέλψω
οὐρανιδῶν πρύτανιν μαρίαν, βασίλειαν ὀλύμπου,
ἐλπίδ' ἐμὴν, καὶ κῦδος ἀκήρατον, ἠδὲ βιώνην.
αὐτὰρ ἔπειτα μένος παύλου θείοιο φέριστον,
παρθένῳ αἰδοίῃ πεφιλημένον ἔξοχον ἄλλων,
ὅττ' ἄλλων πολὺ πλεῖον ἑὸν φίλον ἔρνος ἔτισεν,
καὶ πάντεσσιν ἔφηνεν, ὅσοις ποτιδέρκεται ἠώς.
αὐτὸς μὲν γὰρ ἄκρος πέλεν ἥρως, εἴ νύ τις ἄλλος,
ὃς καλὰ τόσσα πόνησεν, ὅσα ξύμπαντες οἱ ἄλλοι.
ἐξ οὗπερ χριστός μιν ἀπ' οὐρανόθεν ἐκάλεσσεν,
μηνυτῆρά τ' ἀνέδειξεν ἀληθείης ἐριτίμου,
καὶ κόσμου φωστῆρα λιπαυγέος αἰγλήεντα.
ἤτοι ὁ μὲν πρῶτον ζωαρκέος ἦν ἐπιδευὴς
φωτὸς, ἀνὴρ ψυχρὸς ψυχὴν, ἀλαωπὸς, ἀπειθής.
οὐ γάρ πω φάος οἶδε βιοσσόον ἀχλὺν ἐλαύνον,
χριστὸν ἀπὸ πραπίδων μερόπων ὀλεσήνορα, λυγρὴν,

βένθε-



Eripuit captum, densa & caligine mortis,
Præfecitq. Ducem populis, & Apostolon ipsum,
Quos fouet, ac lustrat rapidi fax aurea Solis.
Præcipuum munus nam constat carminis esse
Eximios celebrare viros, & tollere cantu.
Non homines propter vilis, plebemq; profanam,
Hymnorum varios modulos, fidiumq; canorem
Sollertis mens sacra Dei produxit in auras,
Atq; dedit grauis solatia grata poetis.
Sed procerum propter virtutem, claraq; facta
Extulit in lucem cantum, numerosq; sonoros,
Et pulsus citharæ, delenimenta laborum,
Addixitq; choro cantorum, quo decus altum
Heroum celebrent, atq; inclyta carmine facta.
Isque mihi hæc tribuit, quo primũ Heroida Diuũ
Concinerem Mariã Dominam, stellantis Olympi
Reginam, vitamq; meam, columenq; perenne;
Deinde vti virtutem Pauli sublimis ad astra
Laude feram, Diuæ dilecti impensius ipsi,
Et cari ante alios, quoniam mage pignus amauit
Ille suum, & cunctis clarauit gentibus orbis.
Quippe etenim is summus fuit Heros, si fuit alter,
Qui bona tot gessit solus, quot alij simul omnes,
Ex quo Christus eum cæli de sede vocauit,
Ac fidei sanctæ præconia credidit olli;
Esseq; decreuit nitidum iubar orbis opaci.
Ante etenim fuerat vitali lumine cassus,
Vir nequam, cæcusq; animi, tum perfidus idem.
Quippe salutarem nondum tum nouerat auram,
Christum de nostro pellentem pectore noctem,

Erroris

βένθεσιν ἀγνοίης εἰλυμένος ὀκρυοέσσης.
τοὔνεκα καὶ συνδίδεσκε θεηγενέων γένος ἀνδρῶν,
καὶ μὰν λαὸν ἅπαντα θεουδέα πρυμνόθεν ἆραι
οἷά τε θὴρ ἀμνοὺς νεοθηλέας ἐκκεραΐζων.
αὐτὰρ ἐπεὶ χριστός μιν ἐνόσφισε νώροπι βάλλων
ἀστραπῇ ὀφθαλμοὺς, τοίῳ δ' ἠνίπαπε μύθῳ
δεινὸν ὁμοκλήσας. τίμε νήπιε Σαῦλε διώκεις
λακτίζων ποτὶ κέντρα; τί μαίνεαι οὐκέτ' ἀνεκτῶς;
αὐθὺ μεταβληθεὶς ζαθέην τ' ἀνεδέξατο πίστιν,
καὶ γόνον ὑψίστοιο τότ' ἤδεε πατρὸς ἄνακτα
σώφρονα θυμὸν ἑλὼν, καὶ ἀμύμων ἔπλετο μάρτυς
αὐτὸς ἀληθείης, τὴν πρὶν συφέλιζε παράφρων.
ποίησε δὲ θεὸς τὸ πάρος ποίησεν ἐν ἀρχῇ
αἰῶνος ταναοῖο μετ' αὐτοῦ, ἡνίκα φαιδρὸν
ἐκ χάεος δνοφεροῖο κελήσατο φῶς ἀνατεῖλαι,
καὶ δ' ὄσσων σκοτόεσσαν ἀπημαύρωσεν ὁμίχλην,
ὣς σκότος ἐκ κραδίης ψυχοφθόρον ἔκβαλε παύλου,
ὥς κεν ἀπιστίην κόσμου σκεδάσειεν ἀγγελίῃ,
ἣ νόον ἀνθρώπων κνέφαϊ ἐνὶ εἴλυεν αἰνῷ,
καὶ φάος ἐκπετάσειε θεόρτον πίστιος ἁγνῆς.
δὴ τότε γὰρ τριτάτοιο πρὸς οὐρανοῦ ἀστερόεντος
ἄντυγας ἁρπαχθεὶς, καὶ ἀειθαλέος παραδείσου
κῆπον ἐς εὐανθῆ μυστήρια κεδνὰ θεοῖο,
χρησμούς τ' ἀρρήτους, τοὺς μὴ θέμις ἀνδρὶ πιφαύσκειν,
καὶ σέβας εὖ δεδάηκε θεοπρεπὲς, αὖθι διδαχθεὶς
μυεῖ ἄπυστα πάρος τάπερ οὐδ' ὄναρ ἤλυθεν ἄλλῳ,
μύστης αἰθερίων αὐτόπτης, οὐρανοφοίτης.
μήτι χερειότερος τῶν ἄλλων αὐτὸς ὑπάρχῃ,
οἳ πρὶν ὁμίλησαν χριστῷ χαρίεντες ὀπηδοί.
δὴ γὰρ ἐτυφλώθη μὲν καιρῷ κλήσιος αὐτοῦ





*Erroris fundo tetri demersus in imo.*
*Proinde virum ignarus furiata mente piorum*
*Funditus omne genus properabat tollere vita,*
*Ceu fera subrumos discerpens dentibus agnos.*
*Ast vbi eum Christus ceu fulgure perculit acri,*
*Priuauitq́; oculis, ac dictis talibus vnà*
*Terruit increpitans. Quid me vesane lacessis*
*Saule, quid in stimulum ruis improbe? quid furis*
*Percitus immani? diuinam relligionem* (oestro
*Suscipit actutum mutata mente supremi*
*Progeniem agnoscens Patris, fit testis apertus*
*Illius secta, quam pridem exscindere auebat.*
*Egit id in Paulo quod in orbis fecerat olim*
*Principio Deus immensi, quom surgere latam*
*E tenebris iussit lucem, radiareq́; longe,*
*Et procul obscuras oculorum dispulit vmbras.*
*Sic Pauli fuscam discussit pectore noctem,*
*Perfidiam vt toto mox profligaret ab orbe,*
*Quæ mentem humanam nebulis obuoluerat atris,*
*Et lucem fidei præpanderet omnibus almæ.*
*Tunc etenim raptus conuexa ad tertia cæli*
*Conscendit sublimis, vbi viret illud amoeno*
*Semper flore nemus, mysteria percipit illic*
*Sancta, nefas homini quæ sint seclusa profari,*
*Et sacros cultus intelligit, altaq́; sensa*
*Non volgata prius, per somnia visa nec vlli,*
*Aethereus factus Mystes, spectator Olympi:*
*Nequid deterior reliquis foret, inferiorue,*
*Qui Regem potuere adfari, & cernere coram.*
*Namq́; vocaretur quom sacra ad munia Doctor*

ὥς χ' ἔθεν ἡ τύφλωσις ἔῃ φωτισμὸς ἁπάντων,
τὴν χώρην θανάτου σκιοειδέα ναιεταόντων.
εἰς φῶς γάρ μιν ἔθηκε θεὸς μερόπεσσι παναρκὲς
ἐξ ἠοῦς ἐπιτελλομένης πυμάτας ἐπὶ δυσμάς.
οὐ γὰρ λαμπρῦναι τὸν νοῦν ἔνποθε δύναιτο
μαρμαρυγαῖς φαιδρῇσιν ἀληθείης ἀκεσάνδρου,
εἰ πρότερον μὴ δέργμα κακὸν τόδε πάμπαν ὀλέσσῃ.
ἤτοι ἐπεὶ φρεσὶν ἔσκε παραβλὼψ λοξὰ δεδορκώς,
πάγχυ χρεὼν τὸν δ' ἦν πηρῶσαι πρῶτον ἀτύξαι,
ὄφρα κεν ὀρθὰ βλέπῃ, καὶ μήδεα χρηστὰ λάβῃσιν,
ἀρτίφρων τε γένηται ἐς ὕστερον, ἀρτιεπής τε.
Τοῖο δ' ἐπ' ὀφθαλμοῖς λήμης μέγα σῆμα πεσούσης,
δεῖν ἐπιτηδεύσεις προτέρας βροτὸν ἄνδρα πιφαύσκει
πάμπαν ἀποκλεῖσαι, καὶ ἑκούσιον ἄργεμον ἆραι,
ὅστις ἐποπτεύειν θείην σοφίην μελεδήνῃ.
τοῦτο δ' ὁ πηρωθεὶς αὐτὸς δήλωσε νόημα
πᾶσι διαπρύσιον βοόων ἐτυμηγόρῳ ὀμφῇ.
πᾶς τις ἀνὴρ δοκέων πραπίδας σοφὸς ἔμμεναι ἐν ὑμῖν,
ἠλεὸς αὖθι γένοιτο καὶ ἄφρων, ὡς σοφὸς εἴη.
ὅττι δ' ἐς οὖδας πιτνεῖ ἀφ' ἵππου ὄψιν ἀτυχθεὶς
τῆς αἴγλης ῥιπαῖσι, βοᾷ θεοφεγγέος αὐγῆς
πνεύματος ἐλθούσης, τετυφωμένον ἄρτι φρόνημα
ἄμμιν ἀμαυροῦσθαι τὸ μετάρσιον, ἠδὲ νεοχμὸν
ἐγγεγάμεν χθαμαλοῖς ἄλλην στήθεσι μενοινήν,
τοῖς προτέρην σοβαροῖσι, φρεάδην θεοειδέα τ' ἄλλην.
καὶ τότ' ἀμειψάμενοι θυμὸν ἀεσίφρονα κεῖνο
ῥῆμα θεοπρόπου ἀνδρὸς ἀείδομεν εὖ φρονέοντες.
ὡς ἀγαθὸν χθαμαλόν τε, καὶ ἠπεδανόν με τετύχθαι,
ὄφρα δικαιοσύνην ἐρικυδέα σεῖο δαείην.
οὕτω δὴ λαμπτῆρα μέγαν περικαλλέ' ἀνῆψεν

ῥεῖα



*Hanc aciem amisit, quo collustraret eos, qui*
*Squallenti in mortis vitam regione trahebant.*
*Quippe ipsum lumen voluit mortalibus ægris*
*Esse Deus qua Sol oritur, quaue occidit ardens.*
*Haud etenim poterat fulgere intrinsecus ipse,*
*Cernere nec quidquam veri splendoribus almis,*
*Nī prius obtutum prauum deperderet istunc.*
*Nā quia erat strabo solitus transuersa tueri*
*Mente, necesse fuit percelli luscitione,*
*Vt posthac aciem meliorem adquireret intus,*
*Consilioq; potens fieret, verbisq; disertus.*
*Huius in adspectum dat lema illapsa caduco*
*Esse necesse homini studia abiurare priora*
*Prorsus, & hunc vltro debere orbarier extra,*
*Intus vt eualeat diuinæ intendere legi.*
*Hunc sensum hic idem priuatus lumine Doctor*
*Pandit, vbi clarè veraci hæc ore profatur.*
*Si sibi quis prudens in vobis esse videtur,*
*Stultus is, & demens fiat prius, vt sapiens sit.*
*Quòd deiectus equo prolabitur in sola terræ*
*Fulgure perculsus, clamat veniente nitore*
*Flaminis ætherij, mox euanescere fastum*
*Inflatum in nobis ventoso folle, nouamq;*
*Pectoribus rursum nostris inolescere mentem,*
*Adfectumq; Deo similem excedente tumore.*
*Tum vero exsuti mentemq;, animumq; proteruū*
*Diuinam incipimus vocem vsurpare prophetæ.*
*Quam bene mecū actū Deus, vt deiectus ad ima*
*Iustitiamq; tuam discam, legemq; probatam.*
*Sic Deus omnipotens accendit lampada miram,*

ῥεῖα θεὸς, θ' αὐτὸν ἐπιφλέξοντα πελώρην
γαῖαν ὁμοῦ, καὶ πόντον ἀπείριτον ἀκτίνεσσιν
ἠγαθέοισι, νέοις, θεολαμπέσιν. ὣδ' ἀνέτειλεν
χεύμασι νᾶμα ῥέον πολυδευκέσιν ἀμβροσίοισι,
χέρσον ὅκεν στυφελὴν, καὶ καρφαλέην λιαρῇσι
πᾶσαν ἄδην προχοαῖς ῥαίνοι καναχηδὰ ῥεούσαις.
τῇδε παρὰ κρήνῃ πεφυτευμένα δένδρεα θάλλει,
δένδρεα καρπὸν ἔχοντα τὸν ὥριμον, ἠδ' ἀμάραντον,
οὐ λείποντα θέρευς, οὐδ' ἄκρου χείματος ὥρῃ.
εἴ τις καυσοῦται, ῥέεθρον παρὰ τοῦτο γεύοιτο,
καὶ καῦσος κακὸν αὖθις ἀναψύξει λιβάδεσσι
θεσπεσίαις αὐχμὸν καπυρὸν διὰ πάντα λυούσαις.
τοῦτο φύει ῥόδον ἁβρὸν, ὅπου πάρος ἦεν ἄχερδος,
ῥάμνος ὅπου τέτρηχεν, ἴων κυαναυγέα χαίτην.
ἀλλὰ πόθεν μέλπειν ἐπιβαλλώμεθα φέριστον
ἄνδρα, καὶ ἀνδρὸς ἀγαυὰ θεόφρονος ἔργματα τοῦδε,
ἐν δοιῇ μάλα θυμὸς, ἐπεὶ μάλ' ὑπέρφατος αὐτὸς,
ἔργά τε τοῦδε πέλει προφερέστατα, μυρία τ' εἰπεῖν.
τὶς γὰρ ἀριστείας, τίς δ' ἤθεα θεῖα δύναιτο,
ἠδὲ θεοδμήτους ἀρετὰς, καὶ ἄεθλα κραταιὰ
πάντα μάλ' ἐξειπεῖν, τάπερ ἔτλη, χ' ὡπόσ' ἔρεξεν;
ἐξεσίην θείην μετιὼν βασιλῆος ὀλύμπου,
ἠδὲ διακτορίην ὑπάτης γεραρὴν βασιλείης,
ἐξ ἧς καὶ πρέσβυς, καὶ ἀπόστολος ἄκρος ἀκούει;
οὗτος μὲν γὰρ ἔην, ὃς ῥώμην κυδιάνειραν
χριστὸν ἔπεισε σέβειν, καὶ ἀγάλματα φροῦδα λιπέσθαι,
καὶ τὸν πρὶν μεγάλαυχον, ἀνίκητόν τε πρὸς ἀλκὴν
λαὸν ἐνίκησε δαμάσας ἀψευδέϊ γλώσσῃ.
αὐτὸς ὅδ' ἐκ περάτης γλαυκὴν ναίοντας ὑπ' ἠῶ
ζωγρήσας δήμους, πόλιάς τ' ἐκτήσατο χριστῷ.

πει·



*Quę maris immensi spatium, terrasq́; patentis*
*Mirificis semper fulgoribus irradiaret.*
*Sic itidem venam produxit fluminis ampli,*
*Euergat latices quę nectaris, atque liquorem*
*Ambrosium, nostrę qui dulcibus irriget vndis*
*Squallorem terrę, nostra obsita temperet arua.*
*Arboreę surgunt hunc fontem propter amoenum*
*Plantę, immortali quę fructu semper abundant,*
*Fertilibus ramis bruma, atque ęstate nitentes.*
*Si calor immodicus quem macerat, huius adito*
*Fontis sacri vndas, referetq́; insigne leuamen.*
*Quippe grauis ęstus soluit, recreatq; bibentis.*
*Hic pubere rosas mollis, vbi luma rigebat,*
*Atq; vbi rhamnus erat, violę facit esse nitorem.*
*Verum vnde incipiam diuinum extollere cantu*
*Huncce virū, atque viri res gestas, claraq; facta,*
*In dubio est animus. nam nulli effabilis ipse'st,*
*Nec quisquā numerare quit eius splendida facta.*
*Nam quis tot palmas, morumq; insignia sacra,*
*Virtutesq; almas, certaminaque ardua vates*
*Percensere queat quę gessit, quę tulit heros,*
*Orator dictus summi Rectoris Olympi,*
*Supremi interpres regni, fidusq; minister.*
*Vnde & legatus, princeps & Apostolus audit?*
*Ipse est, qui Romam florentem laude virorum*
*Persuasit Christum colere, & simulacra negare.*
*Et populum inuictum, pollentem viribus amplis*
*Veridico victor domuit sermone potenti.*
*Hic etiam Hesperias gentis, eoaque regna*
*Vrbibus innumeris Christo subiunxit, & auxit*

*Illius*

νηρίθμοις πεπιθὼν, καὶ ζωῆς φέγγος ἔδειξεν
ἀγνοίης ἀθέοιο περὶ σπέος ἠλάσκουσιν.
πρῶτα γὰρ ἐν συρίῃ διδαχὴν ἔσπειρεν ἀμεμφῆ,
καὶ πολλοὺς προὔτρεψε θεὸν ζώοντα γεραίρειν.
εἶτα μολὼν δ' ἄραβας τεθμὸν χριστοῖο γέγωνεν
ἀβροβίοις λαοῖσι, καὶ ἀγγελίην θεόμοιρον.
ἵκετο δ' εἰς κίλικας σὺν δόγμασι θεσπεσίοισιν,
καὶ σοφίην ἐδίδαξεν ὁμόσπορον ἔθνος ἀληθῆ,
ὀφθαλμῶν κραδίης σκεδάσας ἀλαῶπιν ὁμίχλην.
τάρσος μὲν γὰρ ἔην πατρὶς θεοφάντορος ἀνδρός.
τάρσος ἐϋκτιμένη, τὴν κύδνος καλλιρέεθρος
ἀργυρέης μέσσην ἀποτέμνεται ἄνδιχα δίναις,
ὀξείης λυκίης, καὶ ἀγαυῶν παῖδας ἰώνων,
καὶ στρατὸν ἀσσυρίων σοβαρὴν βαβυλῶνα περήσας,
ἀτρεκίης κατέμαρψε σὺν ἄορι τριγλώχινι.
ναὶ μὴν καὶ γαλάτας ἄφρον τότε φῦλον ἔλυσεν
ἀφροσύνης προτέρης, καὶ πάνσοφον ἤνυσε λαόν.
δὴ τότε καὶ λυδοὺς, καὶ παμφυλίους μενεχάρμας
τρέψε πρὸς εὐσεβίην ὀρθὴν, ῥοδίους τ' ἀγερώχους.
σὺν κάρεσι δ' ἔλυσε λυκάονας ἀγκυλοτόξοις
λευγαλέης ἄτης ξοάνων, ξύνωσε δ' ἄνακτι
παιδὶ θεοῦ μεγάλου, καὶ ψευστὰς τὸ πρὶν ἐόντας
κρῆτας ἐποίησε πάμπαν νημερτέα βάζειν,
ζῆνά τε φλαυρίζειν κρονίδην, τὸν πρόσθεν ἐτίμων.
ἀντὶ δὲ τοῦ ζηνὸς μάχλου σωτῆρα κράτιστον
μοῦνον ἀριστογόνοιο σεβιζέμεν υἱέα νύμφης
ἀχράντου μαρίης θεομήτορος ἀγλαοκάρπου.
πρὸς δὲ πανέλληνας μετιὼν, καὶ φῦλα πελασγῶν,
θρήϊκας, φωκεῖς τε, πολυκλήρους τ' ἐφυραίους,
ἐσθλούς τε σπάρτης οἰκήτορας εὐρυχόροιο,

ὦρσεν



*Illius imperium patefacto lumine cunctis*
*Vitali, tenebris qui versabantur in atris.*
*Ac primum in Syria seuit cælestia verba,*
*Viuentisque Dei multis cultum insinuauit.*
*Continuoque Arabum felicia regna profectus,*
*Diuitibus retulit populis pia nuncia Christi.*
*Tum Cilicas pernix sancta cum lege petiuit,*
*Et gentem edocuit cognatam scita Tonantis,*
*Ex oculis furua cordis caligine abacta.*
*Nam Tarsus fuit egregij patria ampla Magistri.*
*Tarsus, quam liquido percurrit flumine Cydnus,*
*Et mediam gelidis dirimit rapidissimus vndis.*
*Mox etiam Lycios, & splendida pignora Ionum,*
*Assyriosque simul penetrans Babylona superbam,*
*Subiecit triplici pietatis Signifer ense.*
*Præterea Galatas, fuerat quæ natio demens,*
*Stultitia exsoluit, sollerti pectoreque auxit.*
*Tum verum ad cultum promptos ad bella vocauit*
*Pamphylios, Lydosque simul, Rhodiosque feroces.*
*Caras item, clarosque Lycaonas arcubus vncis*
*Vindicat à noxa statuarum, & copulat alto*
*Patre sato Regi. Cretas mendacia fantes*
*Vaniloquis linguis docuit veracia fari,*
*Ac diu adoratam Saturni temnere prolem.*
*Proque Ioue incesto Saluatorem reuereri,*
*Optima quem partu virgo edidit innuba natum,*
*Præclaro Maria fructu quæ semper abundat.*
*Insuper & Graios adiens, gentemque Pelasgam,*
*Phocensis, Thracasque feros, ditisque Ephyræos,*
*Et Spartæ ingenuos choreis florentis alumnos,*

*Hos*

ὤρσεν ἀπείπασθαι νεκύων εἴδωλα βέβηλα,
αὐτί τε δυσφήμων βρετέων βιοτήσια χριστοῦ
τέθμια δέξασθαι, καὶ ἀληθέα πίστιν ἀρέσθαι.
τοῖς δ᾽ ἅμα καὶ χαοὺς εὐάγγελος ἱεροφάντης,
βοιωτοὺς, κρατερούς τε μακηδόνας, ἠδ᾽ αἰτωλοὺς
εὐσεβίης περίλαμψε φάει θεοπειθέος ἁγνοῦ.
οἷά τι πρηστῆρος παμφάαστον θεσπιδαὲς πῦρ,
τοῦ διαπρησσόντος ταχέως ζαφερήν τε καὶ ὑγρήν.
οὐδὲ μὲν οὐδ᾽ ὀμφῆς τῆς δ᾽ ἐνθέου ἔπλετ᾽ ἄμοιρα
ἤθεα καππαδοκῶν, καὶ πάρθων ἄστεα κλεινὰ,
οὐ φρύγες, οὐ βέβρυκες, οὐδ᾽ αὖ σκύθαι ἀγριόφωνοι,
ἀλλὰ θεόφρονος τούτου, καὶ δέλτων πάνσοφος ἠχὼ,
μαρτυρίη τε σοφὴ βλέμυας τ᾽ ἐπέρησε καὶ ἰνδοὺς,
ἔθνεά τ᾽ αἰθιόπων, καὶ ἐσχατόωντα γάδειρα.
οὐδὲ παλίγγλωσσον, οὐδ᾽ ἔπλετο βάρβαρον οὕτω
φῦλον, ὅπερ βροντὴν μὴ θείου φωτὸς ἔδεκτο
τοῦδε θεοφθόγγοιο, καὶ ἣν σελίδεσσι χάραξεν,
οὔποτ᾽ ἀλεξάνδροιο φιλιππιάδεω μένος αἰχμῆς
τοσσατίους λαοὺς δάμασεν, καὶ ἀγήνορα φῦλα,
ὅσσουσπερ παύλοιο σοφὴ θεομηδέος αὐδὴ,
κρητῆρος σοφίης θ᾽ ἱερῆς, χάριτός τε θεόρτου.
ὅστε διαπρύσιον, σάλπιγξ ἅτε χαλκεόφωνος,
κλάγξε δι᾽ ἠπείρου χριστοῦ πλάκα, καὶ διὰ πόντον
οὔνομ᾽ ἀλεξίκακον λαοῖς πάντεσσι γεγωνώς.
ἀλλὰ γὰρ οὐχ ἥρως τοσσούς δ᾽ ἐτέλεσσεν ἀγῶνας
λαοδάμας μούνη πειθοῖ μύθων θεολαμπέων,
εἰ μὴ καὶ μύθοις συνεμίγνυε θέσκελα ἔργα,
πολλὰ μὲν ἄλλα, σοφὸς καὶ ὅσ᾽ ἵστωρ πέφραδε λουκᾶς
αὐτοχόος κήρυξ πιστὸς, καὶ τοῖο μαθητὴς
ἀρτιεπὴς, παίων γυίων, ψυχέων δ᾽ ἔτι μᾶλλον.





*Hos defunctorum populos delubra profana*
*Linquere persuasit, legesq́ amplectier almas,*
*Atq́ fidem Christi Regis, ritusq́ probandos.*
*Tunc etiam antiquos sacrorum Antistes adiuit*
*Bœotos, fortisq́ Macedonas, atq́ Ætolos,*
*Et fidei cæcas lustrauit lumine mentis.*
*Haud secus, atq́ ignis rapidi presteris, & acris*
*Fulminis immensum pelagus, terrasq́ secantis.*
*Sed neq́ Cappadocum caruerunt voce cateruæ,*
*Parthorumve vrbes Pauli resonante ferocum,*
*Non Phryges, aut Bebryces, non natio sæua Scytharũ.*
*Sed sonitus vocis, & felix pagina tanti*
*Præconis Blemyas pariter penetrauit, & Indos,*
*Gentemq́ Æthiopum, mundiq́ extrema Gadira.*
*Nec tam diuersa lingua, vel barbarus vsquam*
*Est populus, Pauli qui non ex ore profusum*
*Audierit tonitrum, vel quem stylus arduus edit,*
*Fortis Alexandri non vnquam bellica virtus*
*Tot domuit gentis, vicitq́ ferocia regna,*
*Quot Pauli strauit vox celsa arcana loquentis,*
*Sacræ crateris sophiæ, doniq́ superni,*
*Qui liquido sonitu, velut ænea buccina vastos*
*Per terræ campos clangens, pelagiq́ per æquor*
*Nomen* ἀλεξίκακον *Christi resonauit vbique.*
*Verùm Heros tantos non confecisset agonas*
*Solo verborum suasu radiante superne,*
*Ni verbis sacris mira adiunxisset & acta*
*Plurima, quæ Lucas memorat, sed plurima omittit*
*Discipulus Pauli fuit hic, præcoq́ disertus,*
*Membra leuare potẽs hominũ, pollensq́ medẽdis*

ἔσκε γὰρ παύλοιο συνέμπορος ἔπλετο πάντῃ,
καὶ παύλου δεδάηκε τὰ θαύματα θεῖα, λόγους τε.
μάρτυς ἐμοὶ κεῖνος, τὸν κυλλὸν φῶτά περ ἔμπης
νηδύος ἐκ μητρὸς, τὸν μήποτε ποσσὶ μολόντα
σφωϊτέροις, χωλὸν ταλαπείριον ἐξεσάωσεν
λυστρόθι πίστιν ἔχοντα, θεοῦ σὺν χειρὶ κραταιῇ.
τοὔνεκα πᾶσα πόλις θηευμένη ἔργον ἀηθὲς
αἶψα καταπληχθὲν, τὸν δ' ἑρμῆν ἐξονόμηναν,
ὥστε θεῷ ῥέζειν θ' ἱερήϊα ἤθελον ἀνδρὶ,
τοῦτον ἀνορθώσαντι χαλαίποδα θνητὸν ἀνωγῇ,
ἐκ γενεῆς δ' ἄρα ῥαιβὸν ἐπεὶ τόνδ' ὀρθὸν ἔτευξεν,
οὐ πολλὸν τὸ μεταξὺ καὶ ἠβήτην ἀνέγειρεν
ἄπνοον ἐκ νεκύων, καὶ ἀμειδέος ἄϊδος ἄντρων,
ἄϊδος ἐξ ἄντρων, καὶ ταρτάρου ἠερόεντος.
εἰς ἄϊδος δ' οἴχνεσκε πυλάρταο κρατεροῖο
ἐκ ῥεθέων πταμένη ψυχὴ κόρου, ἀλλά μιν αὖθις
θεῖος ἀνὴρ ψύχωσε, καὶ οἷς παρέδωκε τοκεῦσιν.
ἤτοι ὅγ' αὐτὸς ἔην ἐκ τρωάδος, οὔνομα δ' αὐτῷ
εὔτυχος, ὃς νωθὴς τὸν ἀπόστολον ἐν μεγάροισιν
εἰσαΐων ἐπέεσσι παραιφάμενον ζαθέοισιν
νύκτα δι' ὀρφναίην σὺν πληθυῒ ἀγρομένῃφι,
ἤριπεν ἐκ θυρίδος μαλακῷ βεβαρημένος ὕπνῳ
ῥοιζηδὸν προκάρηνος, ἀπ' ἠλιβάτου δὲ μελάθρου
εἰς οὖδας προπεσόντα κιχήσατο πότμος ἀεικής.
αὐτὰρ ὅγ' ἐκ τέγεος καταβὰς μέγας ἱεροφάντης,
καὶ τεθιγὼν παιδὸς πρωθήβεω τεθνειῶτος,
ἤγαγε τὴν ψυχὴν παλινάγρετον εἰς δέμας αὐτοῦ
ἀρτεμὲς, ὡς τὸ πάροσπερ, ἀπ' εὐρώεντος ἐναύλου.
ὡς δ' ἴδον ἀμπνείοντα παλιμπετὲς ἄνδρες ἐκεῖνοι
μείρακα, τὸν πρὶν ἰδόντες ἀποπνεύσαντ' ἀΐηθεν,





*Plus animis ægris Pauli sectator vbique,*
*Adsiduusq; comes, qui dicta, & grandia facta*
*Cognorat Pauli. Testis mihi matris ab aluo*
*Qui fuerat clodus, qui non incesserat umquam*
*Ipse suis pedibus, quem pondus inutile terræ*
*Sanauit Lystris cælesti numine fretus.*
*Quare vrbs insolitum facinus mirata peractum.*
*Mercurium celerem confestim nominitarunt,*
*Et sacrare aras pecudesq; offerre parabant*
*Rite viro, valido qui iussu erexerat ægrum.*
*Haud multo, postquam claudo vestigia recta*
*Reddidit, extinctum rediuiuum ad munia vitæ*
*Incubitu sacro iuuenem reuocauit ab Orci*
*Luctificis tenebris, & Auerni sede profunda.*
*Quippe anima intrarat Stygiæ iam limina portæ*
*Exanimis pueri membris digressa, sed heros*
*Restituit proprijs animatum rursus alumnis.*
*Ipse quidem exstiterat è Troade, nomine dictus*
*Eutychus, hortantem qui Paulum segnius altis*
*Dum tectis audit promentem verba sacrata*
*Nocte sub obscura cum cœtu forte coacto,*
*Depressus somno magno stridore fenestra*
*Decidit in præceps, ita caligante ruentem*
*Ilicet è thalamo mors occupat horrida ephebum.*
*Tum superinsistens tetigit Antistes inane*
*Corpus, & id factũ est rursum spirabile, vt ante.*
*Quippe anima ingressa est proprios remeabilis ar-*
*Ceu prius incolumeis fugiẽs loca senta tenebris (tus*
*At vero vt iuuenem cuncti videre vigentem,*
*Quem dudum extinctum grauiter doluere tuentes,*

οὐκ ὀλίγον διὰ θαῦμα δεδουπότος ἠϊθέοιο,
εἶτα δ᾽ ἀναζώοντος ἀνέψυχθεν φίλον ἦτορ,
καὶ μέγ᾽ ἀνδύαζον σωτήριον οὔνομ᾽ Ἰησοῦ,
ὅς δὴ ἑοῦ προπόλου αἰζήϊον ἄνδρα σάωσεν.
οὐδὲ μὲν οὐδὲ μικρὸν τόπερ ἤνυσεν ἔνθεος ἥρως,
ἀξίου ἀμφὶ ῥόον, λυπρήν τ᾽ Ἠδωνίδα χώρην
σῆμα Σίλα σὺν ἑταίρῳ ἐεργμένος ἐντὸς ἐρεμνῆς
εἱρκτῆς, γυοπέδαις πεπεδημένος ἀργαλέῃσιν.
εὖτε θεοκλυτέοντε σὺν εὔγμασι, σύν τε λιτῇσι,
σύν τ᾽ εὐηγορίαις θεοτερπέσι νυκτὸς ἀμολγῷ,
σεῖσαν ὅλον δάπεδον, δονέοντό τε πάντα θέμεθλα
τῆς φυλακῆς κατένερθεν, ἀνεκλίνοντο πυλάων
χάλκειοι κατοχῆες, ἀπέσσυθεν αἰνὰ θύρετρα.
πᾶσι δ᾽ ἀλυκτοπέδαι πέσον ἀθρόαι ἐν κονίῃσι,
δέσματ᾽ ἄφυκτα λύθεν γυίων ἐκ φωτὸς ἑκάστου,
οἵγε πέδαις σφὶν ἅμα τῆμος δεδμήατο λυγραῖς.
τοῦτο δ᾽ ἄρ᾽ εἱρκτοφύλαξ ἐσιδὼν μέγα θάμβος, ἀμεμφῆ
αὐτὸς ὁμοῦ πίστιν, καὶ ὅλος τοῦ δ᾽ οἶκος ἐδέξατο.
οἷς τε σαωτῆρσι ξενίην παρέθηκε τράπεζαν
καγχαλόων, ὅτι τέτμε πανέστιος ἄλκαρ ἄελπτον
εὐερμής, χάριν ἀΐδιον ζωαρκέος ὄλβου.
ὡς δὲ παλαμναίους, καὶ ἀλάστορας αὐτὸς ἔλασσεν
δαίμονας, οἳ δια σπλῆτες ἐνὶ σπλάγχνοισι βροτείοις
δύοντες σκυλάκεσσιν ἐοικότες ἀργιόδουσι
τρύχουσι ψυχὴν, καὶ σκῆνος πικρὸν ἐχόντων
ἐμφυέντες μελέεσσιν ἀνάρσιοι ἀνδρομέοισιν,
μάρτυρ᾽ ἔχω κείνην παιδίσκην εὖ μάλ᾽ ἑτοίμην,
τὴν πυθίην καλέεσκον ἐπώνυμον Ἀπόλλωνος,
χρησμοὺς ψευδαλέους τοῖς ἐγχωρίοισι διδοῦσαν,
οἷά ποτ᾽ ἐν Πυθῶνι παρὰ τριποδήϊον ὅλμον

ἄλλη



*Conlapsi ob factum miserabile puberis huius,*
*Moxq; resurgentis respirauere refecti,*
*Atq; salutiferi celebrarunt nomen Iesu,*
*Auspicijs Pauli qui uitæ reddidit illum.*
*Nec vero exiguum quod vir memorabilis egit*
*Qua fluit Axius amnis, humusq; Edonis aratur,*
*Cum socio Sila signum atro carcere clausus,*
*Compedibus uinctusq; artis, duraq; cathena,*
*Quando Deum precibusq; pijs, votisque vocantes*
*Supplicibus pariter nocturni temporis hora,*
*Omne solum circum, fundamentumq; profundæ*
*Concussere domus, ferriq; repagula longè*
*Dissiluere simul, valuarum cardine rupto,*
*Cunctaq; vincla virum de membris, atq; numellæ.*
*Obtigit arceri quibus vna tempore tali,*
*Defluxere graues, neruiq; in puluere terræ.*
*Carceris hoc custos cernens opus admiratus*
*Ipse fidem, pariterq; domus sua suscipit almam,*
*Sospitibusq; suis mensam adparat, hospitiumque*
*Lætitia exsultans munus quòd repperit ingens,*
*Numquam speratum, vitæ quod suppetit omni.*
*Quòd uero maneis sceleratos reppulit idem,*
*Qui subeunt hominum turmatim viscera diris*
*Adsimiles canibus morsu, rictuq; ferino,*
*Atq; animas miseras, atq; intestina perurunt,*
*Artubus infesti mortalibus insinuati;*
*Illa mihi occurrit testis manifesta puella,*
*Quã pythiam pythio memorant ab Apolline dictã,*
*Indigenis populis oracula falsa ferentem.*
*Ceu quæ cortinam quondã in Pythone tenebat,*

*Vanaq;*

ἄλλη τις ψεύδη μαντεύετο αἰόλα κούρη.
δεινὸν ὁμοκλήσας τῆς ἤλασε δαίμονα λυγρὸν,
τὸν χρείοντα βροτοῖς μαντήϊα ψεύδεα κείνοις.
κἀλλοξίης μὲν ἄμερσε παραίβολα κωτίλλουσαν
ῥεῖα βοῆς, ἰδίης δέ τ' ἐπήβολον ἤνυσε κούρην.
τοὔνεκεν ὁ τλήμων αἰκισθεὶς εἰς γνύθος ὤσθη
λυγραῖον δεσμοῖς βεβαρημένος ἀρρήκτοισιν.
ἀλλὰ τάγ' εὐχωλαῖς κρατεραῖς ἄρρηκτάπερ ἔμπης
ῥήξατο σωτῆρος κικλήσκων οὔνομ' Ἰησοῦ.
νηλείθμων τ' ἐπέσσευεν ἀλυσκάζειν ἀπὸ φωτῶν
λυγρὰ δαϊζομένων ἄϊδος ποτὶ δῶμα κελαινὸν
λύματα δαιμονίων ὀλοφώϊα, πᾶσι δυσαλθῆ
λοιγὸν ἐπιτρείβοντ', οἷς ἂν χριμφθῶσι βροτοῖσιν,
ἡμετέρης φύτλης λῶβαι, ληΐστορες αἰνοί.
οὐ δὲ γὰρ οὐδ' ἰδέειν ἱερὴν ἐτάλασσαν ὀπωπὴν,
οὐδὲ θεουδείης θεοειδέος ἆσσον ἱκέσθαι.
τοσσὴ δ' εὐσεβίη πέλε τ' ἀνδρὸς τοῦδε φερίστου,
ὥστ' ἀπενεχθῆναι χρωτὸς παρὰ τοῖο πανάγνου
λώματα, καὶ λέγνας, ἠδ' ἡμιτύβια ἐπ' ὄχλον
ἀπειραΐσι δύαις, βαλίης τ' ἀρημένον ἄταις,
καὶ τόνδ' ἀρτεμέοντα παρασχεδὸν αὖθι γενέσθαι.
οἷα δ' ὁμοκλήτοιο Πέτρου σκιὴ ἄλκαρ ὄπαζεν
οὖλον ἀνηκέστοις ὀδυνήφατος αὐτίκα νούσοις,
τοῖον καὶ Παύλου πολυκηδέσι κεκμηῶσιν
νεκταρέη καμάτοισιν ἄκος πόρεν ἱερὸν ἐφεστρὶς,
καὶ χλανὶς ἀνθρώποισιν ἀλέξια τηκομένοισι.
τόσσον ἀποπνείεσκε δομῆς μένος ἀνδρὸς ἀρίστου.
οὐδὲ κολασθέντος μάλ' ἐοικότα νῦν λελαθοίμην.
ῥεῖα κακοζήλοιο, δολοφραδέος τε μάγοιο.
ἔσκε δ' ἑβραῖος γένος ἦν, ἐλύμας δέ τ' ἐπικλὴς

κιω-



*Vanaq; fundebat scitantibus omina turbis,*
*Cuius voce acri increpitans de corpore sæuum*
*Dæmona decussit mendacia vaticinantem,*
*Atq; aliena illam priuauit voce loquentem*
*Verba absurda, suaq; effecit voce fruisci.*
*Vnde miser casus, latebrosumq; in specus insons*
*Truditur inruptis adstrictus nexibus artus.*
*Vincula sed precibus, quamuis inrupta, vocato*
*Perrupit validis augusto nomine Iesu.*
*Præterea talis hominum de corpore pestis*
*Compulit innumeras excedere vexatorum,*
*Inque domum infernam descendere virus acerbũ*
*Omnibus adflantis, legio quibus improba inhæret,*
*Humanæ gentis prædones exitiosi.*
*Haud etenim adspectũ poterat tolerare uerendũ,*
*Nec propius tantæ consistere relligioni.*
*Tanta hic pollebat vir ope, ac virtute beatus,*
*Eius vt ablatis de corpore vestibus almo,*
*Et superimpositis noxis, morbisque grauato*
*Diversis volgo, sanum euadebat ab omni*
*Protinus exitio, morbi & contage maligna.*
*Sicut opem ægrotis Petri tulit vmbra salubris,*
*Adfectumq; graui curabat clade popellum,*
*Sic lænam Pauli, si quis contingeret æger,*
*Tristibus ambustusve doloribus, ille repente*
*Optatam sentibat opem, præsensq; leuamen.*
*Tanta huius sancto manabat corpore virtus,*
*Nec facile oblitus transissem vindice pœna*
*Iure magũ adfectũ scelerisque, doliq; magistrũ.*
*Hebræus fuit hic, Elymas cognomine dictus,*

*Vir*

κιΰτατος ἀνθρώπων, καὶ μάντις ψεύδεα βάζων,
τὸν μάκαρ ἐξαλάωσεν, ἐπειδὴ πίστιος ἔσκεν
ἠγαθέης λύμη, σκῶλον ζωαρκέος οἴμου,
δωτίνης θ' ἱερῆς ἐχθρὸς, χάριτός τε θεοῖο,
ἐχθρὸς ἀληθείης, τὴν δὴ κακομήχανος ἀνὴρ
πᾶσαν ἀϊστῶσαι λαλαγῶν πειρᾶτο κατ' ἄκρης.
φέγγεϊ λάμπουσάν τε παναυγέϊ πᾶσαν ἐπ' αἶαν
ἤλπετ' ἀποκρύψαι, καὶ φθεῖραι νήπιος ἀρδὴν
μαψιλάκας, φάρυγός τ' ἐμέσας θολὸν αἰθαλόεντα
ἀμβροσίην ζωῆς λιβάδα μενέαινε μορύξαι,
μήτις κεκμηκὼς πηγῆς ψαύσας ἀκεσάνδρου
ἐξαύτης τε γένοιτο, καὶ ἀρτεμέων διὰ παντὸς.
οἷα ποθ' ἱμείρουσα φυγεῖν χέρας ἀσπαλιῆος
μήκωνος δνοφεροῦ προχέει ἰχῶρα κελαινὸν
σηπιὰς, ὀρφναίου δὲ καθ' ὕδατος ἀΐσσουσα
φύξηλις τέχνην ἀγρώστορος αἶψ' ἀλίωσεν
ῥηϊδίως δολόεντι χολῇ, καὶ φέρτερον ἰχθύν.
ἤτοι ὁ μὲν Παῦλος διὰ παμπαλόεσσαν ὁδεύων
Κύπρον ἐπιστρέψαι μέμαε πρὸς χριστὸν ἄνακτα,
καὶ δὴ καὶ ζωῆς μυστήρια θεῖα διδάξαι
σέργιον ἀφθάρτου κεκλημένον οὔνομα παῦλον,
πατρίδι ῥωμαῖον, συνετὸν περιώσιον ἄλλων,
κλεινότατόν τε γένει, καὶ βαθμῷ φαίδιμον ἄκρῳ.
ἀνθύπατος γὰρ ἔην διέπων πρυτανήϊα κείνης
ἀμφιάλου χώρης, πολίων τ' οἰκία πασῶν.
ἦ γὰρ ὅγ' ἱμείρων ζάθεον κήρυγμα δαῆναι,
ἠδὲ παλιζώου τετυχεῖν βιότοιο καθαρμῶν,
ὥσκεν ἀνηβώῃ χάριτος νεοθηλέϊ βλαστῷ
προσκάλεσε παῦλον μεγαλήτορα, καὶ τὸν ἑταῖρον
βάρναβαν παύλοιο κλυτοῦ, καὶ ὁμόστολον ἐσθλὸν

θεραπ-



*Vir nequam, & prauus, tum vates futilis idem,*
*Quem Paulus visu priuauit, quòd foret ingens*
*Is fidei sanctæ labes, scopulusq́ salutis,*
*Atq́ idem infensus diuini muneris hostis,*
*Veræ & doctrinæ, quam totam euertere fundo*
*Improbus ardebat nebulo importunus, & audax.*
*Sicq́ super terram fulgentem lumine claro*
*Tentabat blaterans tenebris confundere densis.*
*Ergo atramentum reuomens de gutture tetro*
*Ambrosium laticem vecors fædare volebat,*
*Ne quis contingens æger vitale lauacrum*
*Sanus, & incolumis fieret per sæcula cuncta.*
*Qualis piscantis cupiens vitare periti*
*Sepia vafra manus vomica nigrante profundit*
*Obscuram saniem; sic per turbata fluenta*
*Euadit fugitiua, artem frustrata magistri*
*Sollertis, fortemq́ magis se callida piscem.*
*Quippe etenim Paulus Cypri castella peragrans*
*Scrupea quærebat Regi conuertere Christo,*
*Ac vitæ æternæ mysteria dia docere*
*Quēdā hominē illustrē vocitatū nomine Paulū,*
*Romanum patria sapienti corde uigentem,*
*Stemmate conspicuo decoratū, & culmine claro.*
*Nam Proconsul erat, parebatq́ insula diues*
*Olli tota, mari circumfluaq́ oppida salso.*
*Hic etenim cupiens audire, & discere verba*
*Sacra, renascentis vitæq́ adipiscier vndas,*
*Queis reflor eret diuino munere vernans*
*Pube noua, accersit Paulum, Pauliq́ sodalem*
*Barnabam, comitemq́ viæ, sociumq́ laborum,*

X Præ-

θεσπεσίην περίαλλα λιλαιόμενος ὄπ' ἀκοῦσαι.
αὐτὰρ ὅγ' ἀντῆρε συγερῷ βεβολημένος οἴστρῳ
κηρύκεσσι θεοῦ νημερτέσιν ἀντία βάζων.
σεῦτο δ' ἀποτρέψαι θεόμητιν τὴν δὲ μενοινὴν,
μή τι κλύοι θεῖον, μήτ' ἐμπάζοιτο ἀκούων.
μαρτυρίην θεόπομπον ἐτητυμίης ἐριτίμου.
ἔνθα δ' ὑπόδρα ἰδὼν μυσαρὸν, καὶ ἀναιδέα φῶτα
θεῖος ἀνὴρ προσέφησε. βρύων πάντεσσι δόλοισιν,
παντοίαις τε τέχναις, κίναδος μιαρώτατε πάντων,
δαίμονος υἱὲ κακοῦ, κακομήχανε, κερδαλεόφρον,
οὐχὶ διαστρέψαι λήγεις σωτήριον οἶμον,
καὶ ψέφος ἐνσπεῖραι νεολαμπέϊ φέγγεϊ λυγρὸν,
ἀντιόωντε θεῷ, καὶ ἀνδράσιν. ἤνιδ' ἑτοίμη
τὴν ποινή ποτ' ἐπῆλθε θεήλατος. ἄχρι δὲ καιροῦ
τυφλὸς ἔσῃ, χαροπὴν δ' οὐκ ὄψεαι ἠριγένειαν,
καὶ πάσσοντα νέφος σὲ μέλαν νέφος ἀμφικαλύψει.
τοῖα δ' ἐνίσπεν. ἄφαρ βάλε νὺξ τοῦ δ' ὄσσε μέλαινα.
ἑστάθη δ' ἄφθογγος. ἐκόλλησαν γὰρ ἀνῖαι
γούνατα, καὶ φωνὴν ἄπορός γ' ἀγευξία ἔχεν.
ἔνθ' ἄρα δὴ χαλεπῇ βεβολημένος ἤλιθα πληγῇ,
οἷα μεθυσφαλέων, ζήτει τινὶ χεῖρας ἐρείδοι
ψηλαφόων, ἀλαός τε τόπον περὶ πάντ' ἀλάλητο
λυγαίην σκοτόμαιναν ἑοῖς ἐπικείμενος ὄσσοις.
οὐδὲ κακὰ φρονέων βλαψίφρονα πλῆξεν ἐνιπῇ,
ἐκ δ' ἕλετ' ὀφθαλμῶν γλυκερὸν φάος, ἀλλ' ἀγαπά-
εἰς μάγον ἀντίλυτῳ τοῦ χρήσατο, ὥσπερ ἑαυτοῦ (ζων
βλέμμα δόθη ψυχῆς, καὶ τούτῳ βούλετο δοῦναι,
ὄφρα κεν ὀξὺ νόημα λάβοι, καὶ κρείσσονα τοῦ δὲ
ἥλιον ἄλλον ἴδοι παμφεγγέα κοίρανον ἄστρων,
χριστὸν ἐπουρανίου φαεσίμβροτον υἱέα πατρός.

αὐτὸς



*Praeconum diam sitiens ediscere vocem.*
*Verùm hic obstabat furibundo percitus oestro,*
*Obnixè Christi praeconibus aduorsando.*
*Sicq́; pio vecors instinctam numine mentem*
*Sperabat penitus peruertere, & indupedire,*
*Ne elogium acciperet fidei in praecordia sanctae.*
*Tum vero in faciem toruè huius propudiosi*
*Intendens Paulus sic increpat. Obsite cunctis*
*Fraudibus, atq́; dolis, spurcissima bellua, alumne*
*Immanis Laruae, veterator, perfide, fallax,*
*Non cessas vitae rationem vertere ab imo,*
*Et fuscum fucum serere in candore recenti,*
*Vne infense Deo, & mortalibus. ecce paratum*
*Est tibi supplicium diuinitus, orbus erisq́;*
*Ad certum tempus, nec cernes lumina Solis*
*Nubila spargentem nubes quoq́; te obruet ipsum.*
*Ilicet his dictis, oculos nox perculit atra.*
*Et stetit attonitus; nam moeror vinxerat eius*
*Iam genua, ac vocis sonitū stupor abstulit infans.*
*Sicque improuiso tali ictus verbere nequam*
*Vappa manus titubans cuinam daret, explorabat;*
*Palpandoq́; locum totum errabundus obibat*
*Obsitus obscuris tenebris, & lumine captus.*
*Nec vero hostili vesanum hunc pectore plexit.*
*Eripuitq́; oculorum aciem, sed mente benigna.*
*Quippe mago id remedi tentabat ferre, sibi quo*
*Lux data mētis erat, tale hūc quoq́; habere uole-*
*Cerneret vt melius, atq́; istoc nobiliorem (bat,*
*Longè alium adspiceret Solem astris imperitantē,*
*Christum supremi Genitoris amabile pignus.*

 At

αὐτὸς δ' ἀντίτομον σωτήριον οὐκ ἐνόησεν,
οὐδὲ μὲν ἀμπνεύθη ἄλκαρ βιότοιο μεμαρπώς.
εἰς δὲ τέλος μένε τυφλὸς ὅγ' ἦτορ χριστὸν ἀτίζων.
αὐτὰρ ὁ ταῦτά γ' ἰδὼν πειθήνιος εὐθὺς ὕπαρχος
περιφρονέως πίστευσε θεοῦ ἱεροῖς ὑποφήταις
ἐκπαγλόντι ταφὼν διδαχῇ ἔπι χριστοῦ ἄνακτος,
οὐδὲ βίῃ ἧσσον τιμαόρῳ, ἥπερ ἔπεσεν
τὸν τελχῖνα πονηρόν, ὃν ὄσσων αὐγὰς ἀφεῖλεν.
ἔνθεν δὴ παῦλον χριστοῦ πρεσβῆα καλεῦνται
φασὶ πάρος σαῦλον κεκλημένον οὔνομ' ἀγαυρὸν
σκαιοτάτου βασιλῆος, ἀτὰρ μετέπειτα γενέσθαι
παῦλον ἀγακλειτοῖο φερώνυμον ἡγητῆρος,
τὸν καθαρῆς ἐπέλαμψεν ἀληθείης ἀμαρυγαῖς,
καὶ φαιδραῖς λιβάδεσσι παλιγγενέεσσιν ἔλουσεν.
ὅττι θεῷ τοῦτον πρωτάγγελον ἄξιον αὐτοῦ
ἤγαγε, καὶ δοῦλος χριστοῦ μεγάλοιο τέτυκται
ἰθαγενὴς πρότερόν γ' ἀλλάξας οὔνομα κεῖνο,
τοῖο τόπερ μήτηρ κατὰ μὶν φήμιξε καλεῖσθαι,
ἡνίκα σφε πρῶτον πολιῆς ἐκ γαστρὸς ἀνῆκεν.
τοίη δ' ἐστὶ δίκη δμώων, ὅτ' ἐλεύθερον ἦμαρ
ὤλεσαν, ἀλλάξαι τὸ πρὶν οὔνομα, καὶ θετὸν ἄλλο
τοῦτο λαβεῖν νεαρόν, σφὶν ὃ κύριος ἤθελε θέσθαι.
οἷάπερ ἐν βαβυλῶνι τρισὶ κούροισιν ἐγένετο
τῆμος, ὅτ' ἐκ πάτρης ὀθνείην γῆν ἀφίκοντο,
χώραν ἐς ἀλλοδαπὴν μετὰ δῆμον βαρβαρόφωνον.
εἵλωτες γεγαῶτες ἀπηνέος ἡγεμονῆος.
τοῦτο δ' ἀνακτορίης φορέειν σημεῖον ἀνάγκη,
ὁππότε τὶς ποτὶ δῶμα ληϊλατέοντος ἀπήχθη
δουλιαλὴς ὑπὸ χειρός, ὅτις ληΐζετ', ἄνακτος,
ἀτμέν' ἀμορβεύειν, ὅττι κεν προστάσσῃ οἱ ἔργον.

καὶ



*At curæ ignarus, qua seruaretur, homo amens*
*Nil tulit auxilij, sapuit nil deniq; sanum;*
*Sed Christo spreto permansit pectore cæcus.*
*At contra his visis, Proconsul credidit ipse,*
*Atq; magisterio se illorum tradidit vltro*
*Impensè admirans doctrinam Principis Vncti,*
*Nec minus vltricem vim, qua sectator inertis*
*Artis multatus fuerat bene lumine adempto.*
*Hinc etiam Paulum perhiberi nomine dicunt,*
*Quem pridem Sauli tumidum gestasse vocamen*
*Infamis Regis constat, sed postmodo factum*
*Paulum præclari de nomine Præsidis huius.*
*Quem puris fidei radijs lustrauit, & ipsum*
*Ingenuis renouans feliciter imbuit vndis,*
*Prima Deo quòd opima per illum præda sit acta,*
*Et verus Christi iam cœperit esse minister,*
*Nomine mutato veteri, quo sedula mater*
*Ipsum volgarat pridem debere vocari,*
*Quom primum ex aluo sub luminis edidit oras.*
*Quippe erat antiquus mos, quom quis perderet al*
*Ius libertatis, nomen mutaret eodem (ma*
*Tēpore, et id caperet, dominus quod ponere uellet*
*Qualiter in Babylone tribus quoq; contigit olim*
*Hebræis pueris, quom de tellure reuolsi,*
*Natiuoq; solo subijssent extera regna*
*Extorres famuli facti Ductoris acerbi.*
*Tale autem imperij signum gestare necesse,*
*Quando domũ abductus populantis bellica præda*
*Quis propriam captus liquit patriamq; suosque,*
*Obsequier quæcumq; recens herus imperitarit.*

*Spiri*

καὶ τόδε πνεῦμα θεοῦ τὸ πανευαγὲς ἤνυσε παύλῳ
δουλοσύνης τέκμαρ μάλ᾽ ἀριφραδὲς, εὖ τέ μιν εἷλεν,
ὥς χ᾽ οἱ δουλεύοι πρόπολος ὑποχείριος αἰεί,
τοῦ δὴ κἀννεσίαις ἐπ᾽ ἀέθλια ταῦτα λιάσθη.
τοῦτο δ᾽ ἄναξ καὶ πρόσθεν ἑῷ ποίησε μαθητῇ,
θέσκελον εὖ τέ μιν ἦγεν ἐπ᾽ εἴρερον, οἷα πενέστην,
καὶ μὴν ἐκ σιμῶνος ἐμήσατο πέτρον ἀκούειν.
σίμων ἦσθα τέως, κεκλήσεαι πέτρος ὀπίσσω.
οὐδὲ παραθρέξαιμι τάπερ πάθε μέρμερος ἥρως,
ὅσσά τ᾽ ἔρεξε κλυτῆς μετανευόμενος ἄστυ τὸ ῥώμης
ἔμπορος αἰγαίοιο δεθεὶς ἐπὶ νηῒ μελαίνῃ,
εὖτε μέδοντα μέγαν ἐπεβώσατο καίσαρα γαίης,
ἰχανόων δαΐων προφυγεῖν βαρύμηνιν ἐρωήν,
οἵ μιν λυσσήσαντες ἀποκτείνειν μενέαινον.
δὴ τότε σὺν πολέεσσιν ἐπιπλὼς εὐρέα πόντον
ὀκρυόεσσιν ἁλὸς ῥόχθοις, καὶ κύμασι δεινοῖς,
ἀργέσταις τ᾽ ἐνέκυρσεν ἀναιδέσιν ὀβριμοθύμοις.
τοὶ δεινὸν σμαραγεῦντες ἅπαν σαλμωνίδα κρῆσσαν
ἀμφ᾽ ἄκρην συφελοῖς ῥοιζήμασι βένθος ὄρινον,
καὶ κρυερῆς βαθύκρημνον ἐμάστιζον ῥόον ἅλμης.
δὴ τότ᾽ ἐλαυνόμενοι δηρὸν χρόνον ἔνθα καὶ ἔνθα
οὐκέτ᾽ ὀΐσαντο χλωρὴν χθόνα αὖθις ὁρᾶσθαι,
ἀλλὰ παλιρροθίῳ ψυχὰς βαλέειν ἐνὶ πόντῳ.
καὶ τάχα κεν φθίνοντο, ὅσους τότε φορτὶς ἀγίνει,
ῥαισθείσης ἀκάτοιο βίῃ ἀνέμων πνεόντων,
εἰ μὴ ἀδευκέα πότμον ἐθέσατο πάντας ἀλύξαι
εὐαγέεσσι λιτῇσιν ἀπόστολος ἁγνὰς ὀρεγνὺς
χεῖρας ἐς οὐρανὸν εὐρὺν ἱλασκόμενος θεοῦ ὀργὴν
ἀνδράσιν ὑβριστῇσιν ὁμοστολέουσιν ἅμ᾽ αὐτῷ.
τῷ γὰρ λισσομένῳ θεοῦ ἄγγελος ὑψιμέδοντος

νύκτα



*Spiritus hocce Dei Paulo dedit almus apertum*
*Seruitij indicium proprij, quom scilicet illum,*
*Vt sibi seruiret, cepit, legitq́; ministrum,*
*Cuius & auspicijs fuit hac adscitus ad acta.*
*Hoc itidem famulo Rex fecerat ante fideli,*
*Quom belli duxit captiuum vt iure penesten,*
*Iussitq́; esse Petrum, qui Simon hactenus esset.*
*Antea eras Simon, posthac uocitabere Petrus.*
*Sed neq́; transierim quæ passus prouidus Heros,*
*Atq́; ea quæ gessit, dum Romae tenderet vrbem*
*Puppe per Ægæum ferrata compede vinctus,*
*Cæsaris optauit quando adpellare tribunal,*
*Immanem cupiens hominum vitare furorem,*
*De medio ardentum rabida se tollere mente.*
*Tunc etenim sulcans cum pluribus æquora ponti*
*Incidit in sæuas truculenti marmoris vndas.*
*Et Cauros flabris longè lateq́; frementis;*
*Qui toto tractu circa Salmonida rupem*
*Incubuere maris valido stridore rudentes,*
*Atq́; fluentisonas quatientes æquoris vndas,*
*Tum longum tempus iactati turbine nigro*
*Haud vltra viridem sperabant visere terram,*
*Sed tristis animas efflare in fluctibus atris.*
*Et certè cuncti perijssent naue procellis*
*Vexata validis, & tempestate sonora,*
*Ni precibus sanctis placasset Apostolus iram*
*Numinis excelsi tendens ad sydera palmas,*
*Et necis effugium turbæ impetrasset iniquæ,*
*Puppe vehebatur quæ secum tempore tali.*
*Huic etenim oranti Regis supera alta tenentis*

*Nun-*

νύκτα δὲ ὀρφναίην οἱ ἐφίστατο, καὶ φάτο μῦθον.
θάρσει παῦλε πέπον, μὴ δείδιθι νήχυτον ὕδωρ.
μηδὲ μέλαν ῥόθιον κυανώπιδος ἀμφιτρίτης.
δεῖσε παραστῆναι ᾧ ἐπέκλεο κράντορι ῥώμης,
ἠδὲ δικασθῆναι μεγάλῳ ἐπὶ βήματι τοῖο.
καί ῥα θεὸς τὶν ἅπαντα χαρίζεται ὄχλον ὁμόπλουν,
οὐδέτις ἐρρήσει γλυκερὸν ἀπὸ θυμὸν ὀλέσσας
κυανέης προχοῇσι πολυρροίζοιο θαλάσσης.
ταῦτα δ' ἐπεὶ κατέλεξε παλίσσυτος ἀστερόεντα
ἄγγελος αἰγλήεις ταχὺς οὐρανὸν αὖθις ἀνῆλθεν.
αὐτὰρ ὁ θεῖος ἀνὴρ κατὰ μοῖραν πέφραδε πᾶσιν
ὅσσάκεν αὐτὸς ἄκουσε, καὶ ἔλπειν πάντας ἄνωγε
λῷονα, μηδὲ μόρον δηρὸν καταθύμιον ἴσχειν.
τοῖς δὲ παραρρήτοισιν ἀνέπνευθεν μάλα πάντες
σήμασι θεσπεσίοισι πεποιθότες. εἰς μελίτην δὲ
οὐ μετὰ δηρὸν ἰόντες ἔκελσαν ποντοπόρον ναῦν.
ἦχι δ' ἐνιχειμφθεῖσαν ἐπ' ἠόνι πᾶσαν ἔαξαν
ὁλκάδα παφλάζοντι λυθεῖσαν κύματι λάβρῳ,
ἅρμενα δ' αἰψηρῇσιν ἀπεκλάσθησαν ἀέλλαις.
καὶ τότε δ' ἀγνυμένης ἐκ νηὸς πάντες ὄρουσαν.
ἄλλοι μὲν σανίδεσσιν ἐπὶ ῥηγμῖνος ἔβαινον,
ἄλλοι δ' αἰθυίῃσιν ἐοικότες εἰναλίῃσιν
νηχόμενοι ἀνέδυσαν ἁλὸς χέρσονδε μολόντες.
οὐδέτις ἐκ πάντων ἁλίης δίνῃσιν ἀπέσβη.
εἰς νῆσον δ' ἐκβάντες ἔχις παύλοιο καθῆψε
χειρὸς ἀνάπτοντος φρυγάνοις τηλέσκοπον αὐγὴν
πυρκαϊῆς, οὐδέν τε λυγρὸν πάθεν, ἀλλ' ὄφιν αἰνὸν
εἰς μαλερὴν ἐτίναξε λιγνὺν πυρὸς αἰθομένοιο.
θαύμαινον δ' ἄρα πάντες ὅσοι ἴδον ἑρπυστῆρα
χειρὸς κρημνάμενον, καὶ ἐκ ὀλέκοντα τὸν ἄνδρα.

τοὔνεκα



*Nuncius adsistens per noctem talia fatur.*
*Fide age Paule Deo, nec te perturbet aquarum*
*Feruor, & horrisonus glaucæ fragor Amphitrites,*
*Te moderatori sistendum scito potentis*
*Romæ, atq; eiusdem seruatum cognitioni.*
*Quin tibi nauigii comites Deus ipse remittit.*
*Nec quisquam linquet iucunda lumina vitæ*
*Obrutus insanis stridentis marmoris vndis.*
*Nec plura effatus celer internuncius ales,*
*Rursus se in cœli stellantia templa recepit.*
*At vir diuinus cunctis ea rite retexit*
*Quæcumq; audierat, melius sperareq; fessos*
*Suadet, & exitium non iam meditarier vdum.*
*Talibus alloquijs respirauere refecti.*
*Diuinis freti signis, atq; omine fausto.*
*Mox vero Meliten adpulsi flamine atroci*
*Confregere ratem fluctu feruente solutam,*
*Cautibus inlisam scabris in littore curuo.*
*Omniaq; armamenta feris periere procellis.*
*Tum vero fracta de naui cuncta caterua*
*Prorupere, alij tabulis liquere profundum,*
*Ast alij fulicis similes venere natatu*
*Ad terram canis è fluctibus emergentes.*
*Nec quisquam ex illis perijt salso obrutus æstu.*
*Huc itaq; egressi dextram fera vipera morsu*
*Corripuit Pauli, dum flammam accenderet ignis*
*Sarmentis, nec læsit eum tamen illa, sed anguem*
*Protinus excussit calidi in fomenta vaporis.*
*Tum vero factum mirari quisque, colubram*
*Inuasisse virum, nec confecisse repente.*

Y Quia

τοὔνεκα τὸν δ' ἐδόκουν θεὸν ἄμβροτον αὖθι φανέντα
οὐδέτι μείονα τοῖο τότ' ἤνυσε θαύματος ἔργα.
πρῶτα δ' ἔσωσεν ἑοῦ πατέρ' ἐσθλὸν ξεινοδόκοιο,
δηθὰ δυσέντερον ὄντα, κακηπελέοντά τε νούσῳ
τεινεσμοῦ τε κακοῦ, καὶ χορδάψοιο δυσαλθεῖ.
αὐτὰρ ἔπειτα δύαις μογερῇς ἀκαχήμενον ἐσμὸν
πλεῖστον ἔλυσεν ἑῶν ἀχέων, γναφκὲ ὕγιαν
πᾶσιν ἄγων θεόθεν πεμφθεὶς θνητοῖσιν ἀκέστωρ
ἔνθεος, ἠπιόδωρος, ὃς οὐ πολυπήμον' ἔρυκεν
κήδεα, καὶ νούσους περιάπτων πάντοθε γυίοις
φάρμακα τειρομένοισι δυηπαθέων ἀνθρώπων,
μηδὲ πόσιν παρέχων μενοεικέα, μήδ' ἐπαοιδαῖς
δυσκελάδοις ῥύζων, μήδ' αὖ σκληρῇσι τομαῖσιν,
οἷάπερ ἡμερόεις ἀσκλήπιος, ἠδὲ μαχάων,
ἀλλ' ἐπικεκλόμενος θεοῦ οὔνομα σεμνὸν ἰησοῦ
πάντας ἀνόρθωσεν, καὶ ἀρτεμέοντας ἔθηκεν.
οὐχ' ὅτι δ' εὐεστὼ γυίοις πόρε λυμανθεῖσιν
ἀνθρώπων μελίτην ἀλιερκέα ναιεταόντων,
ἀλλ' ἔτι καὶ ψυχὰς παναπηρέας αὐτὸς ἔτευξε,
ταῖς δ' εὐπελίην μεταδοὺς αἰώνιον ἴσχειν.
ὧδε δ' ὅπῃ κε μόλοι λαοῖς ἔρδεσκεν ἅπασιν.
ὥστε τις ἠέλιος νοερὸς ἐπεμαίετο πάντων,
οἷσίπερ αὐτὸς ἔλαμπε, καταυγάζειν νόον ἀνδρῶν
γνώσιος ἀκτίνεσσι θεουδέος, οὐδέ τι λῆγεν
ἀστόργους κραδίας οἷς δὴ πάφλαζε καὶ αὐτὸς
ἐνδομύχοις πυρσοῖς θάλπειν ἀγαπήσιος ἁγνῆς.
οἷα δέ τις μύδρος πυρόεις κέαρ ἔζεε κείνου
ἀσβέστῳ ὑπ' ἔρωτι κεκαυμένον εἷο ἄνακτος,
ὅς ἑ νιν οὐλομένης ἀπ' ἀλήσιος ἔτραπε βωστρέων.
βουλοίμην δὲ κέαρ τοῦτ' ἔμπυρον αὐτὸς ὁρᾶσθαι

εἴγε



*Quapropter numen sanctum aduenisse putabant.*
*Sed neq; tunc istoc alia edidit acta minora.*
*Primum sanauit proprij patrem hospitis illic*
*Torminibus diris domitum, morboq; maligno*
*Tenasmi grauioris, & anxifero chordapso.*
*Mox vero volgus varijs languoribus ægrum*
*Cladibus excusis, integrum reddidit vltro,*
*Diuino missus nutu omnibus auxiliator*
*Mirificus, mitis, qui non contagia plebis*
*Tabifica arcebat circum medicamine læsis*
*Multiplici admoto membris hominũ miserorũ,*
*Nec potum præbens blandum, nec carmine diro*
*Instridens ægris, nec membri parte resecta,*
*Ceu quondam clemẽs Asclepius, atq; Machaõ,*
*Augusto sed enim vocitato nomine Ihesu,*
*Omnis sanabat fessos præsente medela.*
*Nec vero solum curabat morbida membra*
*Cultorum Melites, cingit quam cærulus amnis.*
*Verum etiam ægrotas animas reparauit ibidem.*
*Æternum ijs tribuẽs bene habere, & viuere sẽp,*
*Talia itemq; alijs, quaqua ibat, dona ferebat.*
*Ac veluti quidam Sol prudens, lurida auebat*
*Ipse suis radijs aliorum corda serena*
*Reddere notitiæ sublimis, amoreq; cassa*
*Numquam cessabat diuina accendere flamma*
*Pectora, quæ penitus mens eius pulcra calebat.*
*Ceu ferrum candens quippe hic feruebat amator*
*Regis inextincto proprij inflammatus amore,*
*Qui se de tristi miserans errore vocarat.*
*O vtinam ignitum cor Pauli cernere possem,*

 *Si*

εἴγε χρεὼν εὔξασθαι ἔπος τόδε, ἠδὲ ποθῆσαι,
πίδακ' ἀπειρεσίων ἀγαθῶν, παλάχην τε βίοιο
ἡμετέρου. ζωῆς δὲ πνοὴ ἐς ἅπαντα δέδηε
φῦλα βροτῶν κεῖθεν πάρος ἄπνοα ἀμπλακίῃσιν.
ὧδε δ' ἔην πλατὺ τοῦτο, καὶ ἄπλετον, ὥστε δέχεσθαι
αὐτάνδρους τε πόλεις, καὶ δήμους, μυρία τ' ἔθνη.
ἀλλ' ἔμπης πλατὺ τοῦτο, καὶ ἄσπετον ἦτορ ἀμεμφὲς
στεινωπὸν ποίησε θαμὰ περιώσιος ἄλλων
ζῆλος, καὶ στοργὴ ἀλιτήμονα πολλὰ τελούντων.
φησὶ γὰρ, ἐκ πολλῆς ξυνοχῆς, καὶ θλίψιος ὑμῖν
γράψα τάδε κραδίης κατοδυρόμενος περὶ κῆρι.
τὴν δὲ βροτοῖς φλεγέθουσαν ἐπ' ὀλλυμένοισι θεᾶσθαι
βουλοίμην, ψυχέων τ' ἐκτρώματ' ἐπωδίνουσαν,
ἐν δ' αὐταῖς Χριστοῖο μεγακλέος ἠλιτόμηνον
μορφὴν αἰάζουσαν ἀνείδεον, ἠδ' ἀτέλεστον.
καὶ πάλιν ἀρτίζουσαν ἄνακτι ἴσ' ἀγλαομόρφῳ
πᾶν ἄμβλωμα κακῶς ἀλιτημένον, οἷα λεχωῒς
τὶς φιλόπαις μορφῶσα τέχνῃ τόπερ ἔπλετ' ἄμορφον.
τὴν θεὸν εἰσορόωσαν, ἐπεὶ θεὸν ἄφθιτον ἀθρεῖ
πᾶς καθαρὸς κραδίην, θυσίην τ' εὔοδμον ἐοῦσαν
ὑψιτέρην γεγαῶσαν ἐπουρανίοιο μελάθρου,
ἀκτίτου εὐρυτέρην, καὶ ναιομένης πολὺ γαίης,
φαιδροτέρην τ' ἀκτῖνος ἀκηράτου ἠελίοιο,
θερμοτέρην ζείοντος ἀκμῆς πυρὸς, ἀρρήκτοιο
στερεοτέρην τ' ἀδάμαντος, ἀναβλύζουσαν ἀχράντοις
ἀενάων ποταμῶν νασμοὺς κατ' ἀπείρονα κόσμον.
οὐ λιαραῖς χέρσον προχοαῖς ἄρδοντας ἄνυδρον,
ἀλλὰ βροτῶν ψυχὰς αὔας θείοισι ῥεέθροις.
οὐ ποταμοὶ δὲ μόνον τοιοί δ' ἀνόρουσαν ἀπ' αὐτῆς,
ἀλλὰ καὶ εἰδάλιμοι πηγαὶ δακρύων ἐρρέντων

ἐξ



*(Si tamen id voti mi fas optare precanti)*
*Nostræ principium vitæ, fontemq́; bonorum*
*Omnium inexhaustum. Nam vitæ spiritus inde*
*Iam scelere extinctas gentis manauit in omnis.*
*Idq́; adeò cor erat tam latum, tamq́; profundum;*
*Vrbis vt caperet, populosque, & maxuma regna.*
*Sed tamẽ id latum quamuis foret, atq́; patens cor,*
*Angustum faciebat, & artum sæpe aliorum*
*Ardor, & adfectus peccamina multa patrantũ.*
*Quippe, inquit, nimio scripsi hæc angore gemiscẽs,*
*Atq́; hæc contracto dictaui pectore vobis.*
*Hocce cor ingenuum vellem inquã visere deflens*
*Exitiumq́; animarum, & abortus intereuntum,*
*Et Christi informem plorans sublimis in illis,*
*Atq́; rudem formam non iusto tempore natis.*
*Atq́; adeo sacrum conformans Regis ad instar*
*Fœtũ imperfectum, ceu gnaua puerpera quædam*
*Arte noua emendãs, quod nondũ absoluerat aluo.*
*Cernere cor vellem, quod cæli numen vbique*
*Insons spectabat, redolens quod victima factum,*
*Ac magis excelsum cælesti culmine, & ipsa*
*Tellure inculta, cultaq́; patentius oris,*
*Clarius & puri præclara lampade Solis,*
*Igneq́; candenti flagrantius, atq́; adamante*
*Soldius infragili, vasti per compita mundi*
*Flumina producens manantia perpete vena,*
*Non liquidis riuis deserta rigantia rura,*
*Verùm animas siccas hominum cælestibus vndis.*
*Nec tantùm hi fluuij corde eius prosiluere,*
*Verùm etiam ex oculis iugè erupere decori*

*Vbertim*

ἐξ αὐτῆς ἤϊξαν ἀν' ἦμαρ, καὶ κατὰ νύκτα.
δειμαίνω μάλα, φησί, μὴ ἐλθὼν ὑμέας εὕρω
οἵους οὐκ ἐθέλω, καὶ κλαύσω πένθεϊ λυγρῷ
τοὺς πρὶν ἀλιτόντας, ἀλιτροσύνας τε βεβήλους
πρήξαντας, μηδ' αὖτε μετεστονάχησαν ὀπίσσω
τὴν ἄτην ἀχέοντες, ἀτασθαλίας τ' ἀλεγεινάς.
οὐδέ τι θαῦμα τοίην κραδίην Παύλοιο γενέσθαι,
ὁππότε τὴν ζωὴν οὐκ ἔζη τὴν πολύκοινον,
ἀλλὰ θεοῦ ζωήν, καὶ ζωὴν Χριστοῦ ἄνακτος.
οὐκέτ' ἐγὼ ζώω, ζώει δ' ἐν ἐμοὶ τριφίλητος
Χριστός, φησίν, ἔρως πάντων κάλλιστος ἐρώτων.
ὄλβιος ὃς τοιόνποτ' ἐρώμενον ἔσχεν ἐραστής.
τοῖο χάριν μηδέν τι πόθει τιμαλφὲς ἐπ' αἴης,
οὐδ' ἵμειρε καλόν, καὶ ἐφίμερον, ἀλλὰ τὰ πάντα
ὡς σκύβαλα φλαύριξε, καὶ ἔκβολα λύματα δαιτός,
ὥσπερ ὅδ' αὐτὸς ἔφασκέ που ἐν δέλτοισιν ἑῇσιν.
μὴ δή μοι φαίης πολιάς τε, καὶ ἔθνεα φωτῶν
μυρία, κοιρανίας τ' αὐτόν, στρατιάς τ' ἀγερώχους
πολλῶν θ' ἱππήων, καὶ πολλῶν ἀσπιδιωτέων,
ἢ νηῶν στόλον εὐρύν, ὑπόπλεά θ' ἅρματα πόντου,
πουλυτενῆ τ' ἤπειρον ἐφίεσθαι κτεατίσσαι.
ταῦτα γὰρ οἷά τιν' ἄμμον ἀπεσκυβάλιζεν ἄτιμον.
καὶ ξηρὴν βοτάνην, καὶ ἀφαυρὸν φυκίον ἅλμης
ἀλλ' οὐδ' οὐρανὸς εὐρὺς ὅσα κλυτὰ ἐντὸς ἐέργει
θαύμαινε μέγα δή τι, καὶ ἔκπαγλον δι' ἔρωτα
ἠϊθέου χαρίεντος, ἀπειρογάμοιο γυναικὸς
παιδὸς ἀκερσεκόμου ῥοδοπήχεος, ἱμερόεντος.
τοιγὰρ καὶ γλυκὺ τοῖο διὰ στόματος ἔχεν αἰεὶ
οὔνομ' ἀείμνηστον, καὶ μυριάκις τό δ' ἐφώνει.
τοῦτο γὰρ ἔνδον ἔνεικε κεκομμένον ἤτορι σεμνῷ.

τῷ



*Vbertim fontes lacrymarum nocte dieque.*
*Heu vereor ne, inquit, quom uos inuisero, qualis*
*Haud vellem, offendam, tum luctu defleã acerbo*
*Antea peccantis, scelerosaq; multa patrantis*
*Crimina, nec posthac quidquam doluere gemẽtes*
*Admissas noxas, & probra nefaria pridem.*
*Haud vero mirum cor Pauli tale fuisse;*
*Quandoquidem uitam non hanc viuebat obesam,*
*Sed vitam cælestem, & vitam Regis Ihesu.*
*Haud ego iam viuo, clamat; ter amabilis in me*
*Viuit Christus Amor pulcerrimus omniũ amorũ.*
*Ter felix, tali potuit qui amore potiri.*
*Eximium hunc propter nihil adfectabat in orbe,*
*Nec pulcrũ quidquã, lepidũve, sed omnia nostra*
*Ceu recrementum, ramentaq; vilia mensæ,*
*Pendebat nihili, velut eius littera prodit.*
*Ne mihi, ne hũc dicas, vrbis, populosue frequẽtis,*
*Neu regni imperiũ magni, turmasue ferocis*
*Armatorũ equitum, peditumve ancile gerentũ,*
*Aut classem ingentẽ, glaucive petorita ponti,*
*Neu spatium terræ immensum cupiisse tenere;*
*Hæc etenim uilem tamquam contempsit arenam,*
*Et siccam maris algam, & siquid vilius alga.*
*Sed neq; quæ cæli rerum præclara coercent*
*Suspexit nimis, atq; impensè propter amorem*
*Dilecti pueri præsignis crine decoro,*
*Et roseis ulnis, peperit quem candida Virgo,*
*Hac propter gratus semper memorabile nomen*
*Illius adsiduè versabat, & ore ferebat.*
*Hoc quippe impressum gestabat corde pudico.*

*Vnde*

τοῦ δὴ καὶ περάτεσσιν ἀνειπὼν δείκνυε λαοῖς,
λαοῖς, ἠδὲ βασιλεῦσιν ὑπερφιάλοις περ ἐοῦσιν.
οἷά περ αὐτὸς ἄναξ σφετέρῳ πάρος εἶπε μαθητῇ.
τοῦ δὲ καλοῦ σὺν ἔρωτι μακάρτατον αὐτὸν ἁπάντων
ᾤετ' ἐφημερίων, καὶ ἀλίγκιον ἀθανάτοισιν
ἔμμεν, , ἄνευ τούτου δὲ δυσάμμορον, οὐδὲν ἐόντα.
τοῖο δ' ἄνευθε βίος οὐκ ἦν βίος, ἀλλ' ἄχος αὐτοῦ
αἰνὸν, ἐπεὶ μετὰ τοῖο καὶ ἔσχατος ἔμμεναι ἀνδρῶν
ηὔχετο, καὶ ποινῆς ἅτ' ἀτάσθαλος ἀντιβολῆσαι,
ἤπερ ἄτερ, πάντεσσι μετ' ἀνδράσι πρῶτα φέρεσθαι.
πάντα τὰ δεινὰ βίου γεραροῦ ὑπὲρ εἷο ἄνακτος
παίγνιά οἱ δοκέεσκον, ἀθύρματα κοῦφά τ' ἐῴκει
παιδαρείων, μᾶλλον δ' ἁλύσεις, πληγάς τε φίλεσκεν,
τραύματά θ' αἱματόεντα, καὶ εἱρκτὰς, ἤ ἅπερ ἄλλοι
τὰ στεφανώματα λαμπρὰ, βραβήϊά τ' ἀγλαὰ νικέων·
τοῦτο διαρρήδην φανεροῖ τοιαῦτά γ' ἀείδων.
τίς χ' ἡμέας στοργῆς χριστοῦ τριποθήτου ἀμέρσοι;
τίς κεάσειε κλυτοῦ ἀσπασίως ἱμερόεσσης
ἡμετέρου βασιλῆος ἐπηράτου; οὐδέ κε θλῖψις,
οὐ στεῖνος, λιμός τε βαρὺς, δεινός τε διωγμὸς,
οὐ χῆτος χλανίδων, οὐδ' αὖ κίνδυνος ἀνιγρὸς,
οὐ κλεινοῦ ποτ' ἄνακτος ἂν ἡμέας κνῆσις ἀπείρξαι.
οὐδὲ μὲν οὐ ζωὴ, οὐδ' αὖ θανάτοιο τελευτὴ,
οὐδ' ὁπόσ' ἦν τ' ἐπιδερκτὰ, καὶ οὐκ ἐπιδερκτὰ βροτοῖσι.
τούτῳ φραξάμενος στιβαρῷ ταλαεργὸς ἀριστεὺς
ὅπλῳ ἀνίκητος γένετ' ἐν πάσῃσιν ἁμίλλαις.
οὐδὲν δεινὸν ἔτρεσσεν ἀταρμύκτῳ φρενὸς ἀλκῇ.
οὐ γὰρ ὅγ' ἀθλητὴς λιτὸν βροτὸν ἔσχεν ἀλείπτην,
ὥς τ' ἐν ἀγῶνι διὸς κρόνιον περὶ πυγμάχος ὄχθον.
παρθενικῆς δὲ γόνον στρατιῶν ταγὸν οὐρανιάων





*Vnde etiam id cunctis pandebat gentibus orbis,*
*Et Ducibus, quamuis immanibus, atq; proteruis,*
*Sicut & ipse suo Rex seruo dixerat ante.*
*Hocce super cunctos sese censebat amore*
*Esse beatum homines, Diuisq; carentibus atra*
*Morte parem, miserūq; sine hocce, nihilq; ualere.*
*Hoc sine vita olli non vita erat, at dolor acer,*
*Quādo hominū hoc cōpos uellet magis ultimus esse*
*Atq; graui pœna, velut improbus, ac reus uri,*
*Quam sine eo cūctis decorari insignibus amplis.*
*Nam quæcumq; alijs in vita dura videntur,*
*Huic pro Rege suo puerilia cuncta fuere*
*Ludicra prædulci; Mage vincla, ac uerbera ama-*
*Verbera sāguinolēta, ac cæci carceris umbras {bat*
*Serta alij quàm clara, trophæaq; splendida palmæ.*
*Hocq; palàm cunctis testatur talia pangens.*
*Quis desyderio Christi nos priuet amati?*
*Quisue arta nostri diuelleret vniter aptos*
*Regis amicitia præstantis? num queat angor*
*Tristis, an atra fames? anne insectatio dira?*
*An penuria vestis? an vlla pericula vitæ?*
*Sed nec dissidium ferus ensis tale patrarit,*
*Nec vitæ spes ulla, nec horror mortis acerbæ,*
*Nec quæ nota patent, penitusve abstrusa tegūtur.*
*Hoc clypeo septus valido fortissimus Heros*
*Perstitit inuictus vario in certamine pugnæ,*
*Nil durum expauit terroris funditus expers:*
*Nam pugil hic hominē non purū inuenit alipten,*
*Ceu Iouis in Cronia quondam luctator arena,*
*Virginis at prolem, superis qui præsidet alis.*

ἔσχε καθηγητὴν, καὶ γυμναστῆρα κράτιστον.
αὐτὸς ἔχρισεν ἑὸν κρατερόφρονα λάτριν ἀλοιφῇ
πνεύματος εὐώδρου σφετέρου μέγα κάρτος ἐνιείς.
οὐδὲ παρ᾽ ἀλφειῷ στάδιον πελοπήϊον ἔσχεν
ἤλιδος αἰπεινῆς, πίσης τ᾽ εὐδείελον ἄλσος,
ὄχθος ὅπερ κρόνιος πέφαται, κρόνιός τε κολωνὸς,
ἔνθα ταραξίππος μέγας ἰσχένου ἔπλετο τύμβος.
οὐ κίρρας δάπεδον, πυθῶνά τε πετρήεσσαν,
οὐ δολιχὴν πόντοιο βαθυκρήμνοιο γεφύρην,
οὐ κόλπον νεμέας, χόρτον δεινοῖο λέοντος,
τὸν φάτις ἡρακλῆα βοῶν σίνιν ἐξεναρίξαι.
ἀλλὰ μέγας κόσμος γένετ᾽ εὐάθλοιο δίαυλος
πεπταμένος παύλοιο, τὸν ἤνυσε μυρία πάντη
καλὰ πονησάμενος κατὰ γῆν τε, καὶ εὐρέα πόντον,
οὐδ᾽ ἀμφικτυόνων σφετέρων θαήτορ᾽ ἀγώνων
τὸν στρατὸν, ἀλλ᾽ αὐτὸν μακάρων λάχεν αἰσυμνήτην,
αὐτὸν ἐπόπτην εἶχεν ἄθλων ἔθεν, ἠδὲ βραβευτὴν
οὐλύμπου σκηπτοῦχον ὑπέρτατον εὐρυχόροιο.
αὐτὸν ἐποπτεύεσκον ἀεθλεύοντα κράτιστα
εἰρέαι ἀθανάτων χρυσόπτεροι ἀγλαόμορφοι,
φῦλά τ᾽ ἀπειρεσίων μερόπων κατ᾽ ἀπείρονα γαῖαν.
οὐδὲ μὲν οὐ κοτίνου στέφανον, χλωροῦ τε σελίνου,
οὐ νικέων ἐκύρησε βραβήϊα δαφνινὸν ἔρνος,
οἷά θ᾽ ὁ νικήσας τά τ᾽ ὀλύμπια, πύθιά τ᾽ ἀνὴρ,
γυιοδάμαις ἐν ἀγῶσιν ἐρεψάμενος τὸ καρήνον.
οὐ γὰρ ἀριστάθλου τάδε νικητήρια παύλου,
οὐδ᾽ ἐπίχειρα πόνων μενοεικέα τοιάδε τόσσων,
ὅσσα τ᾽ ἀφαυρὰ πέλει, μινυώρειά τ᾽, ἠδ᾽ ἐπίκηρα,
ἀλλ᾽ ἄφθαρτα μένοντα, καὶ ἀγλαὰ, ἠδ᾽ ἀμάραντα,
ἅσσα καλὸν τελέσαντι λαβεῖν ἐπέοικεν ἀγῶνα,

καὶ



*Is fuit instructor Pauli, sollersque magister;*
*Ipse suum pugilem generosum Flaminis almi*
*Vnguento illeuit, sacrato & robore fulsit.*
*Nec vero Pelopis stadium est sortitus ad amnem*
*Alpheum, celsæ nemus Elidis, atq; Pisai,*
*Saturni dictum Cronion de nomine collem.*
*Fama Taraxippo quæ fert busto Ischenon abdi.*
*Nec Cirræ campum, Pythonaue rupibus aspram,*
*Aut maris abrupti pontem, collumve profundi,*
*Nec lucum Nemeæ, quo se leo fuluus alebat,*
*Quem pecudum elisit pestem vis Herculis acris.*
*Circus tota fuit sed tellus, tota theatrum*
*Magnanimi Pauli, quam perlustrauit vbique*
*Infinita gerens terra memoranda, marique.*
*Nec spectatore propriorum est nactus agonum*
*Censores Graios, sed Diuis imperitantem.*
*Hic Pauli spectator erat, palmæq; tributor,*
*Sceptriger immensi Regum supremus Olympi.*
*Hunc adspectabant pugnantem fortiter aureis*
*Turmæ immortales alis pernicibus aptæ,*
*Et populi innumeri spatiosa per æquora terræ.*
*Nec vero cotini crollam, viridisve selini,*
*Nec ramum lauri palmarum est præmia adeptus,*
*Sicuti qui vicit vir olympia, pythiaq; acer,*
*In certaminibus redimitus tempora sertis.*
*Talia non Paulo sunt niceteria digna,*
*Munera perfuncto nec tot sudoribus apta,*
*Quæq; cito intereunt, abeuntq; euanida in auras;*
*Sed quae perpetuum maneant, vigeantq; per æuū,*
*Digna capi pulcrum qui confecisset agonem.*

Z 2 Et

καὶ τολυπεύσαντι δρόμον εὔδρομον ἶσον ἀέλλῃ
ἐκ γραμμῆς ἄπταιστον διαμπερὲς ἄχρι τελευτῆς,
πίστιν ἐρυσσαμένῳ τ' ἀστεμφέα, ὥσπερ ἔειπεν
αὐτὸς Τιμοθέῳ πεφιλημένῳ εἷο μαθητῇ.
εἴγε θεὸς δμώεσσιν ἑοῖς κατὰ μόχθον ὀπάζει
λυσιπόνοισι δ' αἶνος, πολὺ πλείονος ἔμμορε τιμῆς
τῶν ἄλλων μάκαρ οὗτος, ἐπεὶ μόχθησεν ἁπάντων
πλείονα, καὶ μελέτησεν ἀρείονα κέρδος ἀγείρων
τῷ Χριστῷ μεδέοντι ἀθέσφατον, ἠδ' ἀμέγαρτον.
ὥστε δ' ἕεις ποταμῶν πεφυτευμένου ἄλσεος ἱεροῦ
χερὶ θεοῦ, γάνος ἀΐδιον διὰ πᾶσαν ἔχευεν
ἤπειρον, θαλίησί τε χλοερὴν πόρεν αἰγλήεσσαν,
ἦρα βροτοῖσι φέρων, ὀπιθόμβροτον ἐλπίδα δόξης,
φημὶ θεοῦ γνῶσιν τριφαῆ πραπίδεσσι βροτείαις,
ταῖσι πάρος ψαφαρῇσι, καὶ ἠΰτε χέρσον ἔρημον
εὐφροσύνης πλήρωσε, καὶ εὔβοτον ὀργάδ' ἔθηκεν.
οὗτος ἐρικλάγκτης κῆρυξ μεγάλοιο θεοῖο
πάντα πρόσωπα φόρησι, καὶ ἤθεσι πᾶσιν ἄρηρεν,
ἀμφιλαφής τε τέχνῃ πολυκερδέϊ πάντα τέτυκται
ἀνθρώποις πάντεσσι πολύτροπος, ὥσκε σαώσῃ
πάντας ἀπολλυμένους, καὶ ἐκρύσηται ὀλέθρου,
νῦν γε μὲν οἷα πατὴρ ἀγανὸς καταφαίνεται εἶναι
υἱέας εὖ κομέων, καὶ ἀμφιέπων περὶ κῆρι.
νῦν δὲ λοχευομένη, καὶ ὠδίνουσα νεοχμὰ
τέκνα φίλη μήτηρ, ἐπιχεύουσα προπίνειν
ἀρτιγόνοισι γλάγος μαζὸν γλυκὺν ἀμπετάσασα.
ἤτοι ὅγ' ὥστε πατὴρ γλυκερῶ προσπτύσσεται αὐτοῦ,
ἠδὲ φιλόστοργος σφέτερον τέκος ἡδὺ τεκοῦσα,
κήδετο τῶν λαῶν, τοὺς αὐτὸς κτήσατο Χριστῷ,
καὶ τρέφεν ἀμφότερον ψυχάς, καὶ σκήνεα πάντων,
τῶν



*Et cursum similem cæli pernicibus auris,*
*Semper inoffensum, venit dum carcere metas,*
*Seruasset'q; fidem stabilem; velut ipse profatur*
*Timotheo adseclæ caro, comiti'q; fideli.*
*Si Dominus gnauis dignum studio, atq; labore*
*Persoluit pretium famulis, hic honore potitus*
*Est potiore aliis, quando magis omnibus vnus*
*Ipse laborauit, meditans meliora'q; multo*
*Is Christo Regi plus adtulit emolumenti.*
*Vnus vt è fluuiis nemoris genialis ab alto*
*Rege sati, latices diffudit ab ore perennis*
*Per terræ tractus siccæ, viridem'q; nitorem*
*Gentibus adspersit, spem certam postumi honoris,*
*Notitiam'q; Dei claram splendore triluco*
*Mentibus infudit squallentibus, atq; vti terram*
*Desertam fecit mira hubertate nitere.*
*Iste Dei tubicen magnus, præco'q; sonorus*
*Personis variis, variis'q; est moribus aptus,*
*Arte'q; multiplici versutus, cuncta fit idem*
*Omnibus, vt pessum miseros conseruet euntis,*
*Et genus eripiat de funere conclamatum:*
*Atq; aliàs tamquam genitor pius esse videtur,*
*Pectore qui curans foueat sua pignora toto;*
*Interdum vt genitrix indulgentissima natos*
*Quæ genuit, peperit'q; piis complexa lacertis*
*Porrigit exertas puerilia in ora mamillas.*
*Ceu sator ergo pius sua germina curat amanter,*
*Progeniem'q; parens propriā gremio educat almo,*
*Curabat populos, quos Christo conciliarat,*
*Nutribat'q; animas illorum, & corpora egena,*
*Suppe-*

τῶν ἐπιδευομένων κομιδῆς προνοῶν κατ' ἀνάγκην.
σκήνεα μέν τ' ἐράνοις, ψυχὰς δ' ἱεροῖς ὀάροισιν
ἐξαρκέων πάντεσσι κατὰ χρέος ἄρμενα πάντα.
οὐδ' ἀντημοιβόν τι ποτὶ σφέων πάγχυ δοκάζων,
οὐ δὲ πόνων τιν' ὄνησιν, ἐπεὶ πολὺ μείζονα τούτων
πρὸς θεοῦ ὑψίστου ποτιδέγμενος ἦεν ἀμοιβήν.
τοῦτο δ' ἐπιστέλλων αἰνίσσεται ἀργείοισιν,
ποιμὴν μὲν γεγάμεν, μήλων τ' ἄγχιστος ὀπάων,
οὐ ποίμνης δὲ γάλακτος ἕης λιαροῖο πάσασθαι,
οὐδὲ πόκοις πείκειν οἴων περιβοσκομενάων.
οὐ γὰρ ἀπαίτιζεν πιστοὺς θρεπτήρια λαοὺς
τέλθος ὀφειλόμενον, καὶ θρέμματα δῖα βάρυνεν,
οὐδ' ἱερῆς διδαχῆς μαπέειν μάστευε δίδακτρα,
ἀλλὰ μόνον ζήτει σφὶν ὀφέλσιμα πάντα παρασχεῖν,
πᾶσαν ἀπημοσύνην, καὶ ἀκήρατον ὄλβον ἀγινεῖν.
τοὔνεκα καὶ τροφῷ αὐτὸν ἐΐσκει ἀμφιεπούσῃ
τοὺς ἰδίους τροφίμους θυμάρεας, οὐ γάλα μοῦνον
τῆς διδαχῆς, ψυχὴν δὲ πλέον ποθέοντ' ἐπιβάλλειν
ἀμφὶ διδασκομένων, παιδευομένων τ' ἀγοράων.
τῷ ῥά που ἐν δέλτοισι θεηπόλον αὐτὸν ἔφασκεν
εἶν, καὶ λειτουργόν, ἐπεὶ θανάτοισι κατ' ἦμαρ
πολλοῖς ἀντιάα, καὶ προφέρων αὐτὸν ἔθυεν
ἀντ' ἁγιαζομένων, ὡς ἀρητῆρι ἔοικεν
καὶ ψυχὴν θέμεναι πεφιλημένου εἵνεκα λαοῦ.
καί νυ πατὴρ ἐπὶ παιδὶ θανεῖν οὐ φείδεται ἐσθλός.
ἔστι δ' ὅπῃ σοφὸν αὐτὸν ἐφήμισε τέκτονα πρῶτον,
θέντα θέμεθλα δόμων, ὁσίους ὅτι πρῶτος ἀγυρμοὺς
στῆσεν ἐν ἑλλήνεσσι, καὶ ἄλλοις ἔθνεσι πολλοῖς.
ἀλλὰ τί σημαίνει τὸ φυτοσπόρου, ἢ φυτοεργοῦ
ἄμμιν ἀρουραίοις ὄνομ' ἐργατίνῃσιν ἐοικὸς

ἐρνοκό-



*Suppeditans quæ cuiq; forent opus omnia abunde,*
*Corpora conlectis, animas pascebat inanis*
*Colloquijs sacris tribuens sua pabula cunctis.*
*Haud hostimenti quidquam exspectabat ab ipsis*
*Aut ærumnarum solatia: quippe repensum*
*His meliora sibi sperabat cælitus iri.*
*Indicat id scribens Argiuis esse quidem se*
*Pastoremq; gregum uigilem, pecudumq; magistrũ,*
*Sed numquam illarum saturatum lacte tepenti,*
*Nec pastarum ouium contectum vellere molli.*
*Haud etenim populos poscebat præmia fidos*
*Pro nutricatu, sacrumq; grauabat ouile,*
*Nec doctrinæ vllam mercedem exegit ab vllo,*
*Sed curare alijs tantùm quæ prosore norat.*
*Tum bona, quæ sorti sint nulli obnoxia diræ.*
*Quare etiam impensè sese nutriculæ amanti*
*Comparat infantis caros, quòd non modo vellet*
*Lac dare doctrinæ, verùm ipsam impendere vitã*
*Pro bene formandis turbis, atq; instituendis.*
*Vnde & sacrificum proprio sese adserit esse*
*Codice, quottidie quoniam se se immolitabat*
*Mortibus innumeris, & mactabatur odora*
*Victima pro populo, velut omni congruit vltro*
*Præsuli obire pio cara pro gente tuenda.*
*Nã pater haud dubitat pro dulci occũbere prole.*
*Principem item fabrum, qui fundamenta locarit*
*Se vocitat, posuit quòd primus Græcia in omni*
*Conuentus sacros, alijsq; in partibus orbis.*
*Sed quid significat de consitione vocamen*
*Conflatum, terræ potius cultoribus aptum,*

*Arbo-*

ἐρνοκόμοισι πλέον, φυτὰ κάρπιμα οἷσι μέμηλεν,
ἢ θεοφαντορίης ζάθεον λόγον ἀγγέλλουσιν;
καὶ τὸ γὰρ ὠγυγίης κλεινοῖς ἀστοῖσι Κορίνθου
τοῖα γράφων Παῦλος δοκέει ἀνελέσθαι ἑαυτῷ.
αὐτὸς ἔγωγ' ἐφύτευσα γεωμόρος, αὐτὰρ Ἀπολλὼς
θειλόπεδον τὸ φύτευσα καλῶς ἄρδευσεν ἑταῖρος.
ἀλδήσκει δὲ θεὸς τόπερ ἄμφω κάμνομεν ἔργον.
τοῦτο σάφ' ἐμφαίνει, νοερὰς ὅτι πῆξεν ἀλωάς,
καὶ Χριστοῖο νέας κλισίας πολίων κατ' ἔδεθλα.
δεικήλων τε καθεῖλεν ἀφαυρῶν ὄργι' ἄσεπτα,
πάντά τε θύσθλα θεῶν ἀθέων ἀμάθυνε βέβηλα.
τοίων φυταλιῶν φύτωρ μέγας εὔχεται εἶναι
Παῦλος ἀειθαλέων, καὶ εὐαλδέα καρπὸν ἐχουσῶν.
νῦν δὲ φράσω τί τρέχειν οὐκ ἀλέματον δρόμον εἰπὼν
ἀλλὰ δέμας δαμνᾷ δι' ὑπώπια μήδεται αἰνά,
μήποτε τοῖς ἄλλοις κηρύξας αὐτὸς ὄληται.
τοῦτο φέρει σαφέως πεπονημένον ἄμμι δρομῆα,
τέρματος ὅσκε θιγεῖν σπεύσῃ, καθάπερ καὶ ἔοργεν,
παντὸς ἀποσχόμενος πράγεος δυνατοῦ μιν ἐπισχεῖν.
ἤνυσα καλὸν ἔφη θεόθεν μοι τακτὸν ἀγῶνα,
πίστιν τηρήσας δολιχὸν δρόμον ἐξετέλεσσα.
λοιπὸν ἐμοὶ θεμίπλεκτον ἀποστεφάνωμ' ἀμάραντον
κεῖται, ὅ μοι κράντωρ δώσῃ τὰ δίκαια βραβεύων
νικήσαντι γέρας ἀντάξιον ἤματι κείνῳ.
ἀλλὰ δρόμου μῆκος περιμήκεος ἦτορ ἔμοιγε
εἰπὲ, πόθεν πρώτην πτηνῷ ποσὶ νύσσαν ἄραξεν,
ἠδ' ὅθ' ἔληξε πόνου ταναοῦ ποτὶ τέλσον ἱκάνων.
ἤρξατο δ' ἐκ περάτης, καὶ γῆς εἰς τέρματ' ἔπαυσεν
πάντα διαΐξας ἀράβων ἄπο μέχρις Ἰβήρων.
ἠΰτε σείριος ὀξὺς ἐὼν πελέθρισμα τιταίνων,





*Arboreas plantas qui curant frugiferentis,*
*Quam verbi sacri diuolgatoribus almis?*
*Quippe idem Paulus dum dictat agenda Corinthi*
*Ciuibus antiquæ, sibi id vsurpasse videtur.*
*Plantaui prior, inquit, ego, plantata sodalis*
*Imbuit irriguis Apollo sedulus undis.*
*Amborumq; operi præbet Deus incrementum.*
*Innuit hoc dicto seuisse per oppida primus*
*Mystica vineta, & Christi panxisse sacella,*
*Nec non fanorum demoliuisse nefasta*
*Orgia, & infandas aras, & sacra Deorum.*
*Harum plantarum sese adserit esse satorem*
*Semper florentum Paulus, fructumq; ferentum.*
*Nunc vero exponam quòd non se currere frustra*
*Dicat, sed macie corpus sugillet acerba,*
*Ne forte erudiens alios fuat improbus ipse.*
*Hoc se cursorem dicto declarat alacrem,*
*Qui celeri cursu properet contingere metam,*
*Cuncta cauens ipsum quæ possent cumq; morari.*
*Indictum mihi, ait, pulcrum certamen obiui,*
*Cumq; fide integra confeci curriculum omne.*
*Quod superest, mihi iuge uirens iā laurea plexa'st,*
*Atq; reposita, dabit quam mi bonus arbiter olim.*
*Nempe die extrema, victori munus honestum.*
*Sed spatium cursus prælongi dulce retexe*
*Cor mihi, vbi primum pepulit pede præpete limen,*
*Atq; vbi laxauit longum sub fine laborem.*
*Solis ab exortu procurrit adusque crepuscos,*
*Ex Arabum domibus pernix penetrauit Iberos.*
*Tamquam Sol rapidus tenuit propriū usq; tenorē*

πάντα καταυγάζων, καὶ θάλπων ᾧ μένει ἁγνῷ
ἐξ ἀνατελλούσης τ' ἠοῦς, αὐγῶν ἐπὶ δυσμάς.
αἴσιον ἀγγελίην χώρην δ' ἀνὰ πᾶσαν ἐνείκων
πᾶσιν ἔναυσε πόθῳ ζωῆς κέαρ ἀφθαρτοῖο,
ψυχέων λῦμα κάθηρε, καὶ ὄργια σβέσεν ἄθεσμα.
ὡς δ' ὅτε τις σπινθὴρ ζαὴς πυρὸς αἰθομένοιο
σπέρμα κιχὼν χόρτου, καλάμην τ' ἀνεμώλιον ὕλην,
εἰς πυρόεσσαν ἑὴν εὐθὺς φύσιν ἔτραπεν αὐτοῦ.
ὣς περίτρεψε βροτοὺς θείου κήρυκος ἰωή.
ἄλλοτε δ' ἀρρήτων κέλεται ταμίην τε δοκεῖσθαι,
καὶ πρύτανιν τελετὰς κεκειμένον, ἱερά τε πάντα
ἔρδεμεν, ἠδὲ νέμειν μυστήρια κεδνὰ θεοῖο.
ἄλλα τε θεῖα γέρα πρυτανευέμεν, ἠδὲ κυβερνᾶν,
ὅσσα θεὸς διέταξε φανεὶς μερόπεσσι βρότειος.
ταῦτα δ' ἐπιρρήδην ἱεράρχην ἄμμιν ὑφαίνει,
ὀτρηρόν θ' ὑπουργὸν, ὃς εὖ διὰ πᾶσι δάσασθαι
δεσποτικὴν κτῆσιν, καὶ ἁρμαλιὴν ὁμοδούλοις,
εὖ διέπειν τε τὰ πάντα κατὰ χρέος οἶδε περίφρων,
πιστὸς ἐὼν σφ' ἄλλων τῷ προκείναντι ἄνακτι.
ζητεῖται πρῶτον γὰρ πίστις ἐν οἰκονόμοισιν,
ὥστε τὰ μὴ σφείων, ἀλλ' ἄλλων τἄργα κομίζειν,
τοί ῥ' αὐτοὺς ἔστησαν ἐπὶ κτεάτεσσιν ἑοῖσιν.
τοῖον ἐπεκείθη παύλου μεγαλώνυμον ἦτορ,
ᾧ πιστὰ φρονέοντι φίλῳ βασιλεὺς θεράποντι
οἶκον ἐπέτρεψε σφέτερον θεοῦ υἱὸς ἀμύμων
πάντα, καὶ οἰκονόμον θείης ἐστήσατο μάνδρης,
αἵματι τὴν πρίατο ζωαρκέϊ λοιγὸν ἀλαλκὼν,
βηλὸν ἐπεὶ θεολαμπῆ ἀπέστιχε, δῶμά τε πατρὸς
ἐκ τύμβοιο θορὼν, καὶ συληθέντος ἀναύγοις
ταρτάρου εὐρόεντος ἀνήγαγεν ἁγνὸν ὀλύμπου

αἰνομό-



*Cuncta suo incendens, atq; auctans lumine puro*
*Cardine ab eoo, Solisq; obeuntis ad oras,*
*Per loca decretum diuolgans omnia faustum*
*Corda inflammabat vitæ adspirare perenni,*
*Purgabatq; animas, ritusq; abolebat iniquos.*
*Ceu scintilla ignis quædam viuacis adepta*
*Materiemq; leuem stipulæ, paleæq; volantis,*
*Mox suum in ardentē transfert, uertitq; uaporē.*
*Sic vox syderei mutabat corda Magistri.*
*Idem arcanorum promum, condumq; putari*
*Volt se alibi, nutu diuino ad munia sacra*
*Quæq; obeunda datum, mysteriaq; inclyta cæli*
*Dispensanda pijs, atq; omnia rite gerenda,*
*Quæ Deus edixit mortali corpore cretus.*
*Quæ liquido æditimum nobis gnauumq; ministrū*
*Insinuant, cunctis qui censum nouit herilem*
*Didere, & annonam conseruis promere certam,*
*Cunctaq; sollerter disponere, quæ foret vsus,*
*Se probum Hero præstās, alijs qui prætulit ipsum.*
*Prima fides opus est dispensatoribus æquis,*
*Ne sua, sed Domini commissa negotia curent,*
*Qui proprijs se opibus statuit, rebusq; patronos.*
*Talis erat Pauli sapientia dia sagacis,*
*Cui Dominus sibi dilecto, seruoq; fideli*
*Ipse domum propriam concredidit, & gregis olli*
*Mandauit curam sacri Genitore supremo*
*Natus, ab æterna quē sanguine morte redemit*
*Vitali, postquam conscendit limen olympi*
*Ex busto emersus, populata sedeq; Auerni*
*Luctisoni, victor perduxit in atria cæli*

 Læ-

αἰνομόρων ψυχέων πολυγηθέα λήϊδα χῶρον,
ἂψ ἀναλυσάμενός μιν ἀνεξόδου ἐξ ἀχέροντος,
λευγαλέου θανάτοιο κράτος κακὸν ἐξαλαπάξας.
τοῦ καὶ ἔειπε φίλοις ἐφύρης ἀστοῖσι θεωρός.
ἀμφὶ δὲ κουράων ὥρην ἄχραντον ἐχουσῶν
οὔτιν' ἐφημοσύνην λίπε κύριος ἄμμιν ἐναργέα,
ἀλλὰ γε μὴν γνώμην ἐλεητύος ἀντιβολήσας,
πιστὸς ὅπως τελέθω τῷ μοι σωτῆρι, δίδωμι.
τοῦτο δοκῶ καλὸν δι' ἐνεστηκυῖαν ἀνάγκην.
οὐκ ἐπίταχθα δὲ μοῦνα διδασκομένοις παρέθηκεν,
ἀλλ' ἐξ ἀγρεσίης τάπερ εὕρατο πολλὰ θεόρτου
χρήσιμα τοῖσδ' ὑπέθηκε θεόφρονι μήτιδι ποιμήν.
τοῦτον ὑπεμφαίνει γὰρ κεῖνος πανδοκὸς ἀληθῶς,
ὅστις ἀποψύχοντα κακῶς κεκαφηότα θυμὸν
ἄνθρωπον λησταῖς οὐτάμενον εἰνοδίοισιν,
οἵ μιν ἐδηλήσαντο κεδνῆς καταβαίνοντα πόληος
αἰπεινῶν σολύμων χθαμαλὸν ποτὶ ἄστυ σελήνης,
πρὸς δύο δηναρίοις ἀλθαίνει οἴκοθεν ἄλλα
πολλὰ τιθείς, ὥστ' ὀρθὸν ἀναστήσῃ πεσόντα,
ὠτειλῇσι δαμέντα, καὶ ἕλκεσιν αἱματόεσσιν.
οὐ μὴν οὐδ' ὅπλων ἀδαήμονά φησι γενέσθαι,
ἀλλὰ μάλ' ἔμπαιον, καὶ αἰχμῆς ἴδμονα πάσης.
ὅπλα δὲ τοῖο νόει μὴ σαρκικά, μηδὲ βρότεια,
οἷά περ ἐκ χαλκοῖο τετυγμένα, ἢ σιδήρου
αἰχμηταὶ φορέουσιν ἀλεξητήρια χρωτός.
ἀλλὰ τὰ θεῖα νόει, καὶ θέσκελα. ταῦτα γάρ εἰσιν
κῆλα θεορρήτων τ' ἐπέων, καὶ ἀκόντια δεινά,
ἀστεροπαί τε λόγων, ὀχυρώματα τοῖσι καθεῖλεν
πάντα, καὶ εἶλαρ ἅπαν πυργούμενον ἀντία θεοῖο
γνώσιος, ἀξεκίης τε βιοσσόου, οἷσι τυράννων

οὐλο-



*Laetantis animarum acies, praedamq́ solutam*
*Ex Acheronte fero, unde exitus haud datur ulli,*
*Imperio mortis destructo funditus atrae.*
*Hinc Ephyres sacer Antistes dicebat alumnis.*
*Nulla puellarum de coetu flore virenti*
*Virgineo nobis Dominus praecepta reliquit:*
*Ast ego consilium gratis pietate potitus,*
*Fidus uti constem, tribuo, σωτῆρι benigno.*
*Arbitror hocce bonum, quãdo urget tẽpus iniquũ.*
*Haud mandata sibi tantùm tradebat amatis*
*Discipulis, sed multa sua cum mente reperta*
*Utilia addebat pastor, monitorq́ fidelis.*
*Hunc enim adumbrabat medicus stabularius ille,*
*Qui confossum hominem loetali volnere crebro,*
*Edentemq́ animam, ac versantẽ in turbine loeti*
*Latronum insidijs exceptum, dum Solymorum*
*Deserit hospitium sublime, & moenia Lunae*
*Deuexa aduentat, bina ad denaria multa*
*De suo item promens curat, releuatq́ iacentem*
*Ulceribus fessum grauibus, plagisq́ cruentis.*
*Quin etiam armorum gnarum, doctumq́ fuisse,*
*Nosseq́ diuorsum belli certamen inire,*
*Se perhibet. verùm arma caue mortalia credas*
*Istaec, quae ferro conflata, aut aere rigenti*
*Miles habet proprij tutamen corporis aptum;*
*Sed diuina puta, ac caelestia, scilicet illa*
*Spicula sacrorum verborum, ac fulgura acuta*
*Sermonum vibrata, quibus vastabat in altum*
*Exstructas turris, ac propugnacula contra*
*Notitiam Regis caeli, vitaleque lumen,*

*Vimq́*

οὐλομένων ἐμάλαξε βίην ὑπερηνορεόντων,
πᾶν τε μένος κατέρειπε βροτῶν ἐπιγαυριοώντων
αὐδρομένη σοφίῃ, ῥητήρων τ' ὀφρυοέντων
κόμπον ἔλεγχε, κακὸν πόλεμον θεῷ υἱϊ φερόντων.
τοιγὰρ ὅγ' αἰχμητής, καὶ πυγμάχος, ἠδὲ παλαιστὴς
πνεύματος ὑψίστοιο, καὶ ὄντως ἔκκριτον ἄγγος.
τεῦχος ἀληθείης ἐριούνιον, ἄκρος ἀριστεύς.
ὃς νήριθμα τρόπαια κατ' ἦμαρ στῆσε, καὶ ὥρην,
πάντα κατασκάπτων τεχνάσματα δαίμονος αἰνοῦ,
αὐτάνδρους τε πόλεις, καὶ ἐρυμνὰς τύρσιας αἱρέων.
τῶν δηΐων συνόντα βέλη, καὶ δούρατ' ἔαξεν.
οἷά τις εὐρυμενὴς λάβρος ὄμβροισιν ἄναυρος
αὐξηθεὶς προχοῇσιν ἐπειγομέναις κατ' ὄρεσφιν
ῥήσσει τ' ἔχματα πάντα προσαντέα, ἠδὲ γεφύρας,
καὶ φορέει μετὰ κῦμα πολυφλοίσβοιο θαλάσσης.
τοῖον δὴ παύλου μένος ἱερὸν αἰθέρα φῦλα
εἷλκε μετοχλίσσας μεθ' ἑαυτοῦ δοῦλα θέλοντα,
τεύχεσιν οὐρανίοις δεδμημένα πρὸς θεὸν αὐτόν.
κεῖνο δ' ἀριζήλοις τὶν ἅμ' ἄλλοις εὖ μάλ' ἀνήκει
σεῖο διδασκαλίης τὸ φερώνυμον οὔνομα σεμνὸν
παῦλε μάκαρ ζαθέης, τῇ ἀριπρεπὲς ἤρατο κῦδος
ἐν πάντεσσι βροτοῖσι διδάσκαλος ἄκρος ἀκούων
παντοδαπῶν τ' ἐθνέων, καὶ δήμων, οἳ τὸν ἄνακτα
οὐράνιόν τε σέβουσι, καὶ ἀτρεκέως θεότιμον.
οὐ γὰρ σημείοις, καὶ θαύμασι μοῦνον ἐς οἶμον
εὐθεῖαν ζωῆς τὰ πολύπλανα φῦλα μετῆγες,
ἀλλὰ καὶ εὐεπίῃ, καὶ πειθοῖ ἄρτια βάζων
ῥεῖα κ' ἐπέστρεψας τοὺς σοὶ παρέχοντας ἀκουήν.
τῇδέ νιν ὠΐσαντο λυκάονες ἔμμεναι ἑρμῆν
ἀρτιεπῆ, φθόγγοιο θεορρύτου εἵνεκα πηγῆς.

ἀμβρο·



*Vimq; tyrannorum queis emollibat atrocem,*
*Atq; tumorem hominum, qui sese efferre solebāt*
*Humana sophia strauit, fastumq; proteruum*
*Oratorum alto bellum cum Rege gerentum.*
*Quapropter veles, luctatorque, ac pugil idem' st*
*Flaminis excelsi, reueraq; eximium vas,*
*Vas sacræ legis pretiosum, ac maximus Heros.*
*Mille trophæa dies retulit qui ex hoste, & in horas*
*Tendiculis latè conuolsis dæmonis atri.*
*Quiq; homines capiens, munitaq; mœnia, & urbis*
*Hostilis arcus, atq; hastas comminuebat.*
*Haud secus ac uehemēs pluuijs ingentibus auctus*
*Impete cum vasto torrens per confraga montium*
*Fertur, & abrumpit quæcumq; obstacula restant,*
*Inq; maris campos defert raptata frementis.*
*Talis erat Pauli sacer impetus, integra secum*
*Raptabat regna, ac populos cælestibus armis*
*Perdomitos vltro perducens numen ad almum.*
*Illud item in primis pulcrum tibi congruit vni*
*Rite magisterio deductum nomen ab ipso*
*Paule beate tuo, quo clarum nactus honorem,*
*Conspicuumq; decus perhiberis iure magister*
*Inter mortalis, & Doctor summus eorum,*
*Qui cæli Regem obseruant, verumq; sequuntur.*
*Haud vero tantum signis insemitam agebat*
*Corda virum rectam vitæ errabunda, sed æquè*
*Flexanimo, vt dixi, suasu, doctaq; loquela*
*Flectebat, facilem quicumq; aduorteret aurem.*
*Vnde Lycaoniæ gens credidit esse disertum*
*Mercurium, ob fontem diuinæ vocis amœnum,*

*Melli-*

ἀμβροσίης, στόματός τε χάριν προχέοντος ἀμεμφῆ,
τῇ πιστοῖς οὐ μοῦνον ἐχραίσμεε τοῖς τότ' ἐοῦσιν
δυσαγέων ὁμάδοισι κεδαιομένοις κατὰ κόσμον.
ἀλλὰ καὶ ὁπλοτέροις ἔπορε ζωαρκὲς ὄνειαρ.
καὶ μὴν ἐσσομένοις τέλος εἰς αἰῶνος ὀνῆσαι
οὔποτέ κεν παύσαιτο δι' ἣν λίπεν ἔγγραφον αὐδήν.
Ἐ νῦν γὰρ βάλλει πυργώματα τείχεα δηΐων,
πάντε θεοῦ βουλῇ κατεναντίον ὕψος ἐρείπει.
δελτία γὰρ τὰ λέλοιπε τετυγμένου ἐξ ἀδάμαντος
στερεωτάτοιο δίκην τειχίσματος, ἠὲ σιδήρου
ἀμφὶς ἐληλαμένου σώζει κλυτὸν ἄστυ θεοῖο
ἀσφαλὲς, οὐδ' ἀπάτησιν ἐᾷ δολίησιν ἁλῶναι.
εἰσέτι δ' ἐν μέσσῳ τρόπον ἵσταται αἰχμητᾶο
δεινοῦ ἀλεξῆσαι μερόπων κόρον ὑβριστάων,
πᾶν σταθμήν τε νόημα πρὸς ὀρθὴν στρεβλὸν ἀγινέων
ποιεῖται χριστοῦ θείοις θεσμοῖσι πιθῆσαι.
τοίη δὴ προβολὴ ἁγίαις ἀλίησι τέτυκται.
καὶ παύλοιο πατεῖν γὰρ γράμματα ἡμέας ὀρθῶς
ἤθεσι κυδαλίμοις, καὶ δόγματα θεῖα διδάσκει.
πρὸς μὲν γὰρ στερεὴν, ἅπερ οὔθατα πίονα λαοὺς
ἡλικίην χριστοῖο τρέφει ἀταλὰ φρονέοντας.
εἰσέτι νῦν διδαχῇ τοῦ δ' ἄνδρες μυστιπόλοι τοὶ
νύμφην κοσμοῦσι θυμήρεα χριστοῦ ἄνακτος,
τήν γε παραστῆσαι μνηστὴν ἄχραντον ὑπέστη,
καί οἱ ἐφαρμόξαι νυμφοστόλος ἠΰτε γαμβρῷ.
ἔνθεν ἔτ' ἔκπαγλον κάλλος χροῒ ἀμφιτιθεῖσιν,
ὅρμοις παντοίοις τε, καὶ εἵματα σιγαλόεντα,
λύματα χυτλώσαντες ἀεικέα, πᾶν τε νόσημα
αἰσχρὸν, ὅ μιν ψαφαρὴν, καὶ ἀφαυρὴν πρόσθεν ἐποίει.
οὗτος ἀγὸς θείης στρατιῆς ἄγχιστα ἐῴκει

υἱὸς



*Mellifluiq; oris gratum, sanctumq; leporem;*
*Quo populos iuuit non tempestate uigentis*
*Tantùm illa sparsos telluris terga per ampla,*
*Verùm etiam toti prospexit posteritati*
*Præsidium stirpi linquens vitale futuræ,*
*Nec coepto absistet per scripta oracla per æuum.*
*Nunc itidem turris, & castra hostilia vertit*
*Impia consilio superum certantia Regis.*
*Quippe pugilares, quos liquit, tamquã adamante,*
*Vel Chalybe exstructo muro circumq; supraq;*
*Cælestem vallant vrbem, tutamq; reseruant,*
*Ne facile insidijs pateat, prædaq; nefandæ.*
*Nunc itidem in medio, nunc instar militis acris,*
*Comprimit iniustamq; iram, fastumq; minacem.*
*Ad normamq; adigens animas, sensusq; recuruos,*
*Efficit, vt Christi se dedant legibus almis.*
*Tantum munimen sacris legionibus adstat.*
*Adde quod ingenuis monumenta incedere Pauli*
*Moribus hortantur, decretaq; celsa recludunt.*
*Vsq; etenim ad firmam, uelut ubera pinguia, gẽtis*
*Aetatem educunt Christi, firmãtq; labantis.*
*Huius adhuc cultu doctrinæ Curio doctus,*
*Et sacer Aedilis sponsam ornat quisque decenter,*
*Quã Christo promisit, vt auspex, virginẽ honestã*
*Sistere, cælesti sponso, castamq; iugare,*
*Mirificũq; addũt circũ membra eius honorem,*
*Et varijs virijs decorant, vestisq; nitore*
*Purpureo, tergunt sordis, vultusq; repellunt*
*Informem: maciem, fuerat qua decolor ante.*
*Hic gregis ætherei Dux inclytus esse videtur*

BB *Adsi-*

νηὸς ἁλιρροθίοισι τινασσομένης δίνῃσιν,
κοπτομένης πνοιαῖς τε, καὶ ἀρρήκτοισι χαλάζαις
ἰθυντῆρι σοφῷ, καὶ φραδμονι, ὅστε κλύδωνι
ἐν κρυερῷ πάντων περικήδεται οἴδματι λυγρῷ
ὀλλυμένων, ἄλλους κατὰ μὲν δινεύοντας ἀνέλκων,
ἄλλους στηρίζων, κάρος οὓς ἀβληχρὸς ἀτύζει.
ἢ δ᾽ ἴλιγξ σκοτόεσσα κυλινδομένους περὶ τοίχους,
ἐξ ἄλλων, ἅτ᾽ ἄελλα, πρὸς ἄλλους ἄλλοτε πηδῶν,
πάντας κινδύνου μεμαὼς ῥύσασθαι ἀνιηροῦ.
νῦν μὲν παπταίνει ποτὶ οὐρανὸν ἠεροειδῆ,
νῦν πρώρην σκοπέει, νῦν δ᾽ αὖτε σχοινία τείνει,
καὶ μακροῖς προτόνοισιν ἰάλλων χεῖρα ταχεῖαν
λαίφεα ῥυθμίζει τε, καὶ ἄφλαστα πάντα κυβερνᾷ.
νῦν διὰ νηὸς ἰὼν τὸν ὁμόστολον ἑσμὸν ὀξύνει
μειλιχίοις ἐπέεσσι παρασταδὸν ἄνδρα ἕκαστον,
μὴ τόσσον τρομέειν, καὶ πτώσσειν νήχυτον ὕδωρ.
νῦν χερσὶ στιβαραῖς νωμῶν δύηρες ἐρετμὸν
τὴν τρόπιν ἰθύνει, γλαφυρῆς τ᾽ οἰήϊα νηός.
νῦν δ᾽ ἱστόνθ᾽ ἕλκει, νῦν δ᾽ ἄλλοις ἄλλα κελεύει
αὐτὸς ἐὼν ναύτης, καὶ πρωρεύς, πηδάλιόν τε,
ἠδὲ κυβερνήτης, καὶ ἱστίον, αὐτὸς ἅπαντα.
κείνη δ᾽ ὀλβίστη ψυχὴ περιώσιον ἄλλων,
τοῖς τε μάκαιρα, δύας, καὶ μόχθοις ἤκεν ἁπάντων
ἡγεῖται σφετέρους, καὶ κήδεα δακρυόεντα,
πάντας ὅπως σώσῃ, καί σφιν κακὸν οἶτον ἀλάλκῃ.
τῷ δὲ πόθῳ πλώει πολυκήτεα πόντον ἄπαυστος,
καὶ τρέχει εἰς Σολύμους ἱεράγγελος, ἔνθεν ἱκάνει
παραλίην Ἐφέσοιο πόλιν ποσὶ καρπαλίμοισιν.
ἐσσυμένως δ᾽ Ἐφύρης ἐπιμαίεται ἀφνειὸν ἄστυ.
ἔνθεν δ᾽ εἰς τρίπολιν Ῥόδον ἔρχεται ἀμφιθάλασσον.

ἡ μα-



*Adsimilis nauis quassatæ marmoris vndis,*
*Vndique pulsatæ ventis, & grandinis imbre,*
*Rectori gnauo, qui tanto in turbine fidens*
*Sollicitè cunctos tutatur, gurgite salso*
*Qui pereunt miserans, alios citus extrahit altum*
*In mare labantis, alios vortigine tortos*
*Per puppisq́; foros fulcit, per transtra volutos:*
*Ex alijsq́; alios celeri petit ocyor aura,*
*Exardens tristi cunctos arcere periclo.*
*Nunc aciem vertit cæli ad conuexa nigrantis,*
*Nunc proram spectat, nunc funis tendit Iberos.*
*Admotaq́; manu ad longos veloce rudentis*
*Carbasa côcinnat, madefactaq́; aplustra gubernat.*
*Et modo per puppim secum exhortatur euntis.*
*Dulciloquis pergens verbis iuuenesq́; senesque,*
*Ne tantum trepident fluxum, paueantue liquorē.*
*Nunc remi validis tractans manibus graue pōdus*
*Dirigit obtortum fulcrum, clauumq́; carinæ.*
*Nunc malū trahit, atq́; alijs alia imperat adstās,*
*Nauta cluens idem, clauus, proraq́; magister,*
*Atq́; gubernator, velum idem, atq́; omnia solus.*
*Omnibus illa anima'st alijs felicior vna,*
*Terq́; beata, hominum quæ cladis, damna, labores*
*Autumat esse suos, alienaq́; tædia mœret,*
*Protegat vt cunctos, & ab ijs propulset acerba.*
*Hoc pontum instinctu properans pernauigat altū,*
*Et volat ad Solymos sacer Angelus, inde remenso*
*Aequore pulcrā Ephesum remeat pernice recursu.*
*Mox bimaris properè petit ardua tecta Corinthi,*
*Et Rhodon insignem tribus urbibus æquore cinctā.*

BB 2 Ema-

ἠμαθίην τ' ἀκάμας προσύδει, κραναούς τε φιλίππους
σπερχνὸς ἐπαΐσσει δ' αὖ ῥώμην κυδιάνειραν
λαὸν ἐποψόμενος πεφιλημένον εὐρυάνακτα.
πάντοσε δεινὰ φέρει, καὶ νήριτα πήματα πάσχει
ἀρνύμενος ψυχὰς πάντων, πάντας τ' ἐλεαίρων.
βάλλεται ἀστεμφὴς στυφλοῖς ὅγε χερμαδίοισιν,
καὶ ῥοπάλοις σμυγεροῖσι, καὶ οὐ πληγῇσιν ὑπείκει
ῥιγηλαῖς χρόα πάντα δαϊχθεὶς αἱμοφόρυκτον.
οὔτι δέδοικε λύγοις, οὐδ' αὖ σμώδιγγας ὑφαίμους,
οὐ δεννοῖς στυγεροῖς, οὐδ' ὀκρυοέσσας ἀπειλάς.
γυιοπέδας τ' ἀθέριξε, καὶ εἱρκτῆς καρτερὰ δεσμά,
ἔμπεδος, ὥστε πέτρη, τὴν κόπτεται οἶδμα κελαινόν,
ὥστ' ἄκμων χαλκοῦς θαμὰ τὸν ῥαιστῆρι πατάσσει.
οὔτι δ' ἀπέσφηλεν ταλακάρδιον ἀνέρα δεῖμα.
βουλιμίην θ' ὑπέμεινεν, ὁδοιπορίας τ' ἀλεγεινὰς
νηρείθμοις κατὰ γῆν τε, καὶ ἠεροειδέα πόντον.
ἀγρυπνίαις τ' ἀντέχε, καὶ ἀργαλέοισιν μόγοισιν,
καὶ δίψει, ῥίγει τε, καὶ ἠνεκέεσσι μερίμναις
δαιόμενος πυρόεντι πόθῳ χριστοῦ βασιλῆος.
πάντα τάδ' ἔτλησε φρεσὶν ἥρως καρτερόθυμος
πάντας ὅπως σώσῃ, καὶ λύσῃ λυγροῦ ὀλέθρου.
νῆα δὲ τοσσατίοις κεραϊζομένην ῥοθίοισιν,
κύμασι θεινομένην, καὶ χειμερίοισιν ἀήταις,
τοῦ δὲ νόει κόσμου πολυχανδέος ἕρκος ἄπιστον,
πεπληθὸς μερόπων βιότου βαθὺ λαῖτμα περώντων,
ἧσιν ἀτασθαλίῃσιν, ἀπιστίῃ τε χανόντος
ἰλαδὸν εἰς ἐρέβους ὀλοοῦ κατὰ χῶραν ἅπασαν
χάσμα βυθιζομένων, καὶ εἰς κλυμένοιο μέλαθρα
βλωσκόντων, ἀκάτου ῥοθίοις ἅπερ ὀρνυμένοισιν
δεινὰ σαλευομένης κυανώπιδος ἀμφιτρίτης

βένθος



*Emathiam haud fessus repetit, scabrosq́; Philippos.*
*Deniq́; festinat generosæ ad mœnia Romæ*
*Visurus populum carum, lateq́; potentem.*
*Milleq́; vbiq́; subit incommoda, mille labores,*
*Sospitet ut miseras animas, releuetq́; iacentis.*
*Pellitur immotus saxorum turbine denso,*
*Et flagris quatitur, nec plagis flectitur hilum.*
*Membra gerẽs lacerus proprio madefacta cruore.*
*Nil metuit fustis, nil verbera sanguinolenta,*
*Nec maledicta virum, nec verba minantia cadẽ.*
*Vincula neglexit, ridebat carceris vmbras.*
*Ceu rupes stabilis, quam fluctus verberat ater,*
*Incusue adsiduo quam tundit malleus ictu.*
*Nullus ab officio generosum absterruit horror*
*Pectus, sæpe famem tolerat, durosq́; viarum*
*Sudores pergens per terram, & cærula ponti*
*Perdius ac pernox, nulloq́; labore fatiscit,*
*Nec sitis hũc domitat, nec frigus, curaue mordax*
*Flammatum Christi Regis feruore fideli.*
*Perpetitur cladis tot inexpugnabilis Heros,*
*Vt clade exsoluat cunctos, redimatq́; perenni.*
*Porro nauigium quassatum fluctibus atris*
*Vndis pulsatum, dirisque hyemalibus austris,*
*Hoc mihi nunc septum mundi, caueamq́; capacis*
*Accipe plenã hominũ, sæcli huius per uada nãtũ,*
*Perfidiaq́; sua pariter, vitijsq́; patentis*
*In fauces Erebi turmatim per regiones*
*Lapsantum, nigriq́; Orci sub stagna ruentum*
*Haud secus atq́; undis surgentibus Amphitrites*
*Cæruleæ, rate vexata, grauiterq́; agitata,*

*Absor-*

βένθος ἀναρροιβδεῖ, καὶ ἐν σπιλάδεσσι κεάζει
ἄστρα βιαζομένοις τ' ἄνδρας, καὶ φορτίδα δειλήν,
ἥκε κυβερνήτεω μὴ ἐπαύρῃ πάμπαν ἀρίστου.
τόνδε τινὲς πρόμον ἄκρον ἐφημίξαντο παλαιῶν,
τοῦτε θεοπνεύστου σοφίης ῥυδὸν ἀφνειὸν ἦτορ,
ῥήσιας ἀθανάτοις προχέον ποταμηδὸν ἐπ' αἶαν,
ὠκεανὸν πλήθοντα, βαθύρροον, οὔτι φέροντα
ναυτίλλοντας ὄχλους ἐξ ἄστεος ἄστυ πρὸς ἄλλο,
ἀλλ' εἰς οὐρανὸν αἰπὺν, ἐς ἄντυγας ἀστερόεσσας
ἐκ γαίης χθαμαλῆς, καὶ ὁμήγυριν οὐρανιώνων.
φασὶ δὲ πλώοντας πέλαγος κατὰ τοῦτο γαληνὸν
ἐξώστας ἀνέμοις μὴ κυρσέμεν, οὐδέ νυ πλαγκτὰς
εἰσελάσαι πέτρας, οὐδ' αὐτοὺς ἔκποτ' ὀκέλλειν
δεινὸν ἐς εὔριπον, καὶ χοιράδας ὀκρυοέσσας.
αἴσια πάντα δ' ἔχειν, καὶ εἰς τέλος ὀρθοπλοῆσαι
πνεύμασιν οὐρίοις εἰς αὐτοῦ θέσφατα ῥητὰ,
οἷάπερ εἰς ἄστρων κινήσιας εἰσορόωντας.
οὐδὲ μὲν οὐ σκοπέλοις τῇδ' ἔμμεναι, οὐδέτι δεινὸν
κνώδαλον, οὐδὲ θύελλαν, ἀτὰρ εὐδείελα πάντα,
πάντα πρὸς εὐπλοΐην βίου εὔδια, πάντα γαληνὰ,
ὥρια πάντα πρὸς ὅρμον εὔπλοον ἐμβεβαῶτα
λαὸν ἀπήμαντόν τε, καὶ εἰς αἰῶνα κομίζειν
ὁλκάδι θεσπεσίῃ πρὸς ἀτέρμονα λῆξιν ὀλύμπου,
ὀξαλέως ταύτην ὃς ναυτιλίηνγ' ἐφέπησιν.
φασὶ δὲ τοῦδ' οὐδὲν ῥόον ἱερὸν ὠκεανοῖο
ἁλμυρὸν, οὐδὲ μέλαν πλημμυρέμεν, ἀλλὰ μελιχρὸν
νᾶμα βλύειν, λαρόντε, καὶ ἀγλαὸν, ἠδὲ διαυγές.
οὐδὲ φύειν κάλχης ἄνθος, καὶ μάργαρα λευκὰ,
οἷάτ' ἐρυθραίου πελάγευς ῥόος, ἀλλά τι λῷον
κτῆμα φέρειν τούτων, καὶ τιμαλφέστερον ἄλλο.

φημὶ



*Absorbet fluctus, frangitq; in cautibus aspris*
*Astra uiros, nauemq; simul violare volentis,*
*Ni moderatorem fuerit sortita peritum.*
*Hunc procerem Patrum quidam dixere priorum,*
*Corq; huius fundens in morem fluminis ampli*
*Augustæ sophiæ riuos per squallida terræ,*
*Vndantem Oceanum, non turbas per freta euntis*
*Qui vehat ex alijs alias rate præpete ad vrbis,*
*Sed supera ad conuexa, poliq; micantia templa*
*Ex humili terra, sancta ad consortia Diuum.*
*Quin perhibent, pelagi siquis trãquilla per huius*
*Terga meat, uentos non umquam incurrere sæuos,*
*Nec scopulos scabros, nec in æstũ impingere tristis*
*Euripi nauim, vel saxa latentia fundo;*
*Sed cuncta ad votum succedere velificanti,*
*Et leni vsurum flatu, dum spectat in eius*
*Aurea dicta frequens, ceu fulua ad sydera nauta.*
*Hic nullas cauteis consurgere, nullaq; monstra*
*Infestare ferunt, nec tempestate tumere,*
*Cærula, sed pacata nitere, & prospera cuncta,*
*Cunctaq; felicem populo spondentia portum*
*Incolumi, talem qui puppem adscenderit vltro,*
*Nimirum cæli requiem sine fine manentem;*
*Si modo sulcarit sacrum hoc studiosius æquor.*
*Præterea tradunt non exundare quid atrum*
*Hoc mare, nec tristi quidquam salsedine mixtũ,*
*Sed clarum laticem diffundere, mellifluumque.*
*Nec conchæ florem, nec baccas margaritarum,*
*Qualia visuntur per rubri littora ponti.*
*Verùm aliud melius ferre, ac pretiosius istis,*

*Atq;*

φημὶ δὲ τὴν ζωὴν, καὶ τὸν ζωθάλμιον ὄλβον,
ὄλβον ἀκηράσιον, κειμήλιον ἄσπετον ἐσθλῶν.
ὅσσάπερ ἀμφιέπει μέγας οὐρανὸς, οὔλυμπός τε.
αἰ δ' ἀνάγεσθαι θέλῃ τις, κἀνθάδε ναυσιφορεῖσθαι,
οὐ κώπης χρήζειν γ' εὐήρεος, εἰρεσίης τε,
ἀλλὰ θεοῦ χάριτος, καὶ πομπῆς θείου ἀήτεω.
καὶ τὸν μὲν γεγάμεν τ' ἔρον, νηός τε κελευστὴν
τῆς δὲ θεοκμήτου, καὶ ἀπήμονα πομπὸν ὁδοῖο.
τοὺς αὐτοῦ χαρίεντας ὀπάονας ἁγνὸς Ἰησοῦς
φέγγος ἀναυγήτου κόσμου κίκλησκε φαεινὸν,
ὅττι δίκην αἴθωνος ἐφώτιζον νόον ἀνδρῶν
ἠελίου ζοφόεντα βιαρκέσιν ἀκτίνεσσιν.
τῆς δὲ τ' ἐπωνυμίης παῦλος περιώσιον ἄλλων
ἄξιος ἐξεφάνη, γλώσσης ὅτι μαρμαρυγῇσιν
θεσπεσίης ἔθνη, καὶ γαίης ἄντυγα πάσης
παμφανόων ἀκάμαντι δρόμῳ ἐπιὼν σελάγησεν.
ἀδέματός τε συθεὶς, ὡς ψυχὴ, ἠὲ νόημα,
θᾶσσε βροτῶν καὶ φῦλα διαπτὰς εὐρέα κόσμον.
πάντῃ ὅπῃ κε μόλοι θρησκεῖαι δύσθεοι εἶκον,
καὶ τελεταὶ βάκχοιο, καὶ ὄργια πάντα βέβηλα.
φεῦγον ὁμοῦ θίασοι μανιώδεες, ἠδὲ σαβασμοὶ
θυρσομανεῖς, κυβέλης τ' ὀλολύγματα τυμπανόδουπα
κῶμοι ἀϊστωθέν τε, φιλοιστρομανεῖς τε θυασμοὶ,
καὶ κροτάλων ἰαχὴ, καὶ ἀναιδὴς κρεμβαλιαστὺς,
κουρήτων τε θρόος, καὶ χαλκοκρότων κορυβάντων.
ὡς δ' ὁπότ' ἐκ περάτης φαέθων φαιδρωπὸς ἀνίσχει,
εἰς χειὰς θῆρες, καὶ εἰς σπέα αἶψ' ἐφόβηθεν,
καὶ μοιχοὶ φῶρές τε, καὶ ἀνδραποδισταὶ ἀπηνεῖς.
βωμολόχοι, τοιχωρύκται, καὶ ἱερόσυλοι
κίνδυνον χωροῦσι κακοῦ μόρου ἐξαλύοντες

τοὺς



*Atq́; adeo vitam, & quidquid iuuat, ac beat ipsam.*
*Quidquid opũ manet, immẽsũ cumulũq́; bonorũ,*
*Quæcumq́; ætherij cohibent fastigia cæli.*
*Si quisquã pelagus velit hoc tranare profundum,*
*Haud eget is remo fabrefacto, remigioue,*
*Verùm ope diuina, tum ductu Flaminis almi*
*Felici; cluet is proprius diuinitus huius*
*Compactæ nauis flatus, verusq́; celeustes.*
*Dilectos comites sanctus vocitabat Ihesus:*
*Obsessi tenebris candens iubar orbis, eo quòd*
*Corda serenabant hominum liuentia claris*
*Doctrinæ radijs, ceu Sol terrestria membra.*
*Præ cunctis istoc Paulus cognomine dignus*
*Est visus, linguæ quoniam splendore corusco*
*Altisonæ gentis, ac terræ totius orbem*
*Indomito cursu lustrans perfudit abunde,*
*Ac circumuolitans animæ instar corpore cassæ,*
*Aut sensus mentis mortalia sæcla reuisit.*
*Vana superstitio quacumq́; meabat, abibat.*
*Sacraq́; cedebant Bacchi, ritusq́; profani,*
*Cedebant thiasi insani, pariterq́; sabasmi*
*Thyrsigeri, pessumq́; vlulantia tympana abibant,*
*Et lymphata cohors Cybeles, obscoenaq́; noctis*
*Cantica, testarum crepitacula, sistraq́; acuta,*
*Curetum strepitus, Corybantumq́; ærisonorum.*
*Haud secus, ac roseo quom Sol se tollit ab ortu,*
*Antra repente feræ sese sub furua receptant,*
*Et moechi, & fures, praedonumq́; impia turba,*
*Atq́; effractores murorum, sacrilegiq́;*
*Diffugiunt trepidi, mortisq́; pericula vitant.*

CC Sic

τοὺς εὐαγγέλιον παύλου προφέροντος ἅπασιν.
ἔθνεσι, πᾶσα πλάνη, πώρωσίς τ' ᾤχετ' ἄϊστος,
εἰδώλων τε λατρεία, καὶ οἶστρος δαιμονιώδης.
τοῦ δ' ἕκητι καὶ αὐτὸν ἐφήμισεν οὐρανὸν αἰπὺν
ξὺν λοιποῖς ἑτάροισι παλαίφατος ἔνθεος ὀμφή.
οὐρανοὶ εὐδικίην μεγάλου ἐρέουσι θεοῖο
λαῷ ἐπερχομένῳ, κῦδος φράζουσί τ' ἄνακτος.
ἤτοι ὁ τῶν φθόγγος πᾶσαν μετενίσετο γαῖαν.
καὶ κραιπνοὶ πεπότηνται ἐπ' ἔσχατα πείρατα μῦθοι.
ἀλλὰ τίη δ' οὐκ ἔστιν ἐπάξιος οὔνομα τοῦτο
οὗτος ἔχειν ἥρως, ἀρετάς γ' ὃς λαμπετοώσας
εἶχεν ἀπειρεσίας, ἅτε τείρεα λαμπρὸς ὄλυμπος;
καὶ μέγα βρόντησεν κηρύγματος ἀγλαοφώνου
σάλπιγγι βριαρῇ, βρονταὶ δ' ἐγένοντό τ' ἐνιπαὶ,
θεσπέσιοί τε λόγοι, δημηγορίαι τ' ἐριηχεῖς.
αὐτὰρ ἔσαν στεροπαὶ σημήϊα θέσκελα φωτὸς,
τοῖς ἄστραπτε μακρὰν τρόπον αἰθέρος αἰγλήεντος,
ἐκπάγλοις τε δάμαζε βροτήσια φῦλα βέλεσσιν.
ἄρδευε ψεκάδεσσιν, ἀειθαλέεσσί τ' ἐέρσαις
στηθέων αὐαλέων νοερὸν κύτος, ἠγαθέης δὲ
φημὶ ῥοαῖς χάριτος, καὶ νασμοῖς ἀγλαοκάρποις.
χρῶμα δίαιθερον ἀτὰρ κυαναυγέος οὐρανοῦ ἁγνὴν
ἐμφαίνει παύλου ψυχὴν ἄχραντον ἐρωέων,
τῶν κηρετρεφέων, ποιέων τ' ἀκραιφνέα πασῶν.
ἐν χθονὶ γὰρ ναίων ἦν οὐρανιδῶν πολιήτης,
οὔτι χαμαίζηλον πρᾶγος, χθαμαλόν τε διώκων,
ἀλλ' αὐτοῦ πολίτευμα μετὴν ὁσίοις μακάρεσσιν.
στηλὸς ὅδ' ἀστερόεις μέγαν ἥλιον εἶχεν ἐν αὐτῷ
φημὶ δικαιοσύνης κεχαραγμένον ἐν πραπίδεσσιν
χριστὸν, ὑπερφαεῖ ὃς δόξῃ πᾶσαν ὁμίχλην

αὐτοῦ



*Sic euangelium Paulo pandente per omnis*
*Terrarum tractus stupor omnis, & error abibat,*
*Et simulacrorum cultus, & dæmonis oestrum.*
*Hacpropter cælum vocitat sublime vetustus*
*Hunc fidicen reliquis cũ æqualibus, atq; ita fatur.*
*Iustitiam cæli volgabunt numinis almi*
*Venturo populo, tum clarum Regis honorem.*
*Quippe horum sonitus totum peruasit in orbem,*
*Extremasq; plagas petiere volantia verba.*
*Quid ni sit dignus tali cognomine Paulus*
*Noster, virtutum totidem qui insignia gestat*
*Splendida, quot stellas, & sydera clarus Olympus?*
*Præconij resonans valido clangore tonabat,*
*Edebat tonitrus, dum sontis increpitaret,*
*Et proba suadebat sermonibus acta seueris.*
*Fulgetræ sed enim miracula clara fuere,*
*Aetheris in morem quis longè fulsit aperti,*
*Fulmineisq; hominum domitabat sæcla sagittis*
*Eloquij, pluuijsq; vbertim corda rigabat,*
*Roreq; vitali squallentia, scilicet almis*
*Gratiæ cælestis scatebris, lætisq; fluentis.*
*At color ætherius, cæliq; innubilus orbis*
*Exprimit ingenium Pauli, mentemq; serenam,*
*Quam nil turbabat terrenum, nilq; caducum.*
*Namq; colens terras ciuis cælestis erat iam*
*Nil humile adfectans, nil vile, sed usq; beatis*
*Cum superum choreis diuersabatur in astris.*
*Hocce rotam Solis cælum ardens semper habebat*
*In se iustitiæ sculptum sub pectore Christum.*
*Qui splendore suo tetras de corde fugarat*

CC 2 *Ipsius*

αὐτοῦ ἀπαὶ κραδίης ἀπελάσσατο, τὴν πρὶν ἔχεσκεν.
πολλὰ δὲ φθέγγεσθαι περὶ τ' οὐρανοῦ εἰσέτ' ἔχοντας
τοῦδε, Θεόμνηστος καλέει πρὸς τἄλλο προφήτης
οὔνομ' ἀνυμνῆσαι, καὶ ἀποστόλω ἔνθεν ἀρίστω
ἀρχηγὼ, παῦλον, καὶ παύλου κεδνὸν ἑταῖρον
κληδοῦχον, κορυφαῖον, ἀγακλέα, φημὶ δὲ πέτρον.
τοὺς δὲ γὰρ ὀπτασίης ἐπὶ θείης εἶδεν ἐλαιῶν
ἐν δισσῶν ἰδέῃσι τινὸς περὶ δαίδαλον ἔργον
λυχνούχου χρυσέοιο παρισταμένων ἑκάτερθεν,
ἄλλης λυχνούχου κατὰ δέξια τηλεθοώσης
χρυσαύγοις, ἄλλης δ' ἐπ' ἀριστερὰ, λυχνοῦχος δὲ
κεῖνος ἔην χριστὸς χρυσέῃ θεότητι παναυγὴς,
πάντα καταυγάζων θεοφεγγεῖ λαμπάδι κόσμον.
ἔρνεα δ' ἠγητῆρε τάδ' ἀμφαδὸν ἄμμιν ἀΰτει
τούτω σπονδοφόρω μεγάλου θεοῦ, ὅττι δι' αὐτῶν
παντοδαποῖς προὔτεινε μεγήρατα δῶρα βροτοῖσιν
εἰρήνης θαλερῆς, καὶ μειλιχίης ἐρατεινῆς
πεισάμενος δηΐοισιν ἑκούσιος αἰσυλοεργοῖς.
σύμβολα δ' εἰρήνης μεθέπει τανύφυλλος ἐλαίη.
τῶν δὲ γε μὴν δένδρων ὡραίων θεῖον ἄλειφαρ
κεῖνό ποτ' ἐξέβλυσε θεόρρυτον, ᾧ ἱερῆες,
καὶ βασιλεῖς γιγνόμεθα, καὶ ἀθλητῆρες ἀγαυοί.
ἔθνος ἀείζηλον, φορέον κλυτὸν οὔνομ' ἄνακτος.
τετραδυμόν τι γέρας γλαυκῆς λίπος ἔσχεν ἐλαίης.
ὑψόσ' ἀναπλώει λιβάδων καθυπέρτερον ἄλλων.
ἄμμε περιστίλβει, χρόα χρίει, κἄμμιγα φέρβει.
ταῦτα δὲ κἀρχηγὼ τώδ' εἶχον τέσσαρ' ἄριστοι.
φημὶ δὲ τὴν στοργὴν ἀρετῶν βασίλειαν ἁπασέων,
ἣ δὲ φιλοφροσύνῃ θεοτερπέα, τῇ φιλέεσκον
πάντας ἐπιχθονίους, ὡς υἱοὺς, ἠὲ θύγατρας.

φέγγ



*Ipsius tenebras, fuerat quibus obsitus ante.*
*De caelo quom plura forent dicenda nitenti*
*Hocce, Theomnestus reuocat, nomenq́ propheta*
*Nos aliud celebrare monet commune duobus*
*Principibus Paulo pariter, Pauliq́ sodali,*
*Nempe Petro illustri Coryphaeo, clauigeroque.*
*Quippe hos sub specie geminae conspexit oliuae*
*Per visum stanteis cuiusdam propter vtrumq́*
*Daedalum opus lychni dextra parte, atq́ sinistra.*
*Totus vero is erat de fului dite metalli*
*Conflatus massa, lychnuchusq́ aureus ille*
*Christus erat princeps rutilanti numine fulgens,*
*Cunctum conlustrans diuina lampade mundum.*
*At plantae hos proceres hae nobis vociferantur,*
*Paciferosq́ Dei legatos; namq́ per ipsos*
*Munera porrexit cunctis mortalibus alma*
*Pacis, & exhibuit clemens pia dona salutis*
*Prolixè stirpi tandem placatus iniquae.*
*Symbola nam pacis praefert oleagina planta.*
*Ex hisce arboribus felicibus illud opimum*
*Vnguentum effluxit, quo Reges rite creamur,*
*Atq́ sacerdotes, & fortes deniq́ athletae.*
*Sanctaq́ gens Regis praeclarum nomen adepta.*
*Dote quatergemina praestat liquor vdus oliuae.*
*Prima superfusos latices superenatat omnis,*
*Lumē alit nitidum, membra unctitat, educat idē.*
*Hiq́ Duces totidem quoq́ habebāt munera clari.*
*Prima hera virtutum propensio comis in omnis*
*Ardenti pietate replebat pectora eorum.*
*Vnde omnis homines tāquā sua pignora amabant.*

*Conlucet*

φέγγει τοὔλαιον γανυρὸν, φέγγουσι καὶ αὐτοὶ,
πρῶτα μὲν ἔργοισι, μετέπειτα δὲ θεσπεσίοισιν
ἀτρεκίης χρησμοῖς, τρίτατον δέ τε θαύμασι λαμ·
πᾶσαν ἐπιστήμην, σοφίης τ᾽ αἰπεινὸν ἄωτον (προῖς
νηπυτίοις μερόπεσσι, καὶ ἀφραίνουσιν ἄγοντες.
σώματ᾽ ἀλείφει πῖαρ ἐλάϊνον, ἀλλὰ καὶ αὐτοὶ
ἦτορ ἀλείφουσι στυφελὸν, θέλγουσί τε θυμὸν
ἄγριον ἀνθρώπων μενοεικέα πορσιώοντε
μείλια, τοῖς ὀργὴν σπλάγχνων ἄπο πάγχυ λύοντες
βαρβαρικὴν στέρνοισι προσηνέα μῆτιν ἄγουσιν.
πρηΰνοόν τε χάριν πνοιῆς θεόπεμπτον ἐννοῖς,
ἣ μένος ἀρρηνὲς, καὶ ἀμείλιχον ἐπρήϋνεν
ἀγριότητα βαρεῖαν ἀμαλδύνουσα βιαίων.
χρῖσμα γεμὴν λιπαρὸν φέρβειν τέκος οἶδεν ἐλαίης.
ἀλλὰ πολὺ πλεῖον σελίσι, καὶ ῥήσεσιν ἄμφω
τοίδ᾽ ἄνδρες βόσκουσι κέαρ, καὶ ψυχὰς ἑκάστου
πειναλέας, βόσκουσι λιταῖς, καὶ προστροπῇ ἁγνῇ,
οὐδ᾽ ἧσσον βιότου μιμήμασιν ἀγχιθέοιο,
καὶ θεομιμήτοις παραδείγμασι λειπομένοισιν.
τοὔνεκα τρὶς πέτρῳ ταγὸς ἔννεπε μηλοβοτήρων.
σώνομα τὰ μὰ σίμων πεφιλημένα μῆλα νόμευε,
πώεα τὰ μὰ φύλασσε, λύκων δ᾽ ἀπὸ λύσσαν ἔεργε.
βόσκε λόγῳ λαοὺς πρὸς ἐναίσιμα πάντας ὀτρύνων
καὶ κατὰ δὴ στόμισον ψευδηγόρον ὄχλον ἀπίστων.
βόσκε βίῳ κυρῶν τὰ θεουδέα δόγματ᾽ ἀλήπτῳ,
καί τε τὸ κηρύσσεις φωνῇ, ἀπόφηνον ἅμ᾽ ἔργῳ.
βόσκε λιταζόμενος θερμαῖς θεὸν ἱκεσίῃσιν,
καὶ περὶ δὴ κείνων ἀρήσεαι, οὓς λάχες ἦας.
οὐδ᾽ ἄλλως καὶ παῦλος ἑοὺς ποίμαινε μαθητάς.
εἰσὶ γὰρ ἀλλήλων πανομοίϊοι οἵγ᾽ ἀγελάρχαι,

ἀλλή-



*Conlucet flagrans oleum, præsignibus ambo*
*Hi primum factis, dictisq́ exinde disertis,*
*Tertio miraclis longè fulsêre peractis.*
*Hisce tribus stolidos sapienti corde vigere*
*Fecerunt homines, sensuq́ auxere sagaci.*
*Membra latex olei linit vdus, uterq́ perungit*
*Squarosas mentis, & corda rigentia mulcet,*
*Barbaricumq́ adimunt morem, præbentq́ benigna*
*Lenimenta, quibus mitescunt uiscera dura,*
*Leneq́ consilium sub pectora scaua reducunt.*
*Inde quoq́ emanat pia gratia Flaminis almi,*
*Quæ violentorum vim mitigat, inq́ solentum*
*Agrestem ex animis demum eximit asperitatem.*
*Vnctio tandem istæc sata termite pascit oliuæ.*
*Verùm plus isti dictis, doctaq́ papyro*
*Ieiunas pascunt mentis cuiusque, animasque,*
*Pascunt & precibus submisso poplite fusis,*
*Nec minus exemplis vitæ diuina secutæ,*
*Et quibus ipse Deus se imitari postulat actis.*
*Vnde Petro ter summus ait Dux vpilionum.*
*Petre meas pecudes, quas diligo, pascito sollers,*
*Et seruato gregem, rabiemq́ arceto luporum.*
*Pasce proba hortatu populos vti facta capessant,*
*Oraq́ falsiloquæ veris turbæ obstrue dictis.*
*Pasce inculpata statuens pia dogmata vita,*
*Et quæ voce doces prior exhibe, & exprime factis.*
*Pasce Deum fusa demum prece supplice placans,*
*Neu te vmquam pigeat cara pro stirpe precari.*
*Haud aliter Paulus proprios pascebat alumnos.*
*Sunt etenim pariles prorsus sibi, consimilesq́*

*Hi*

ἀλλήλοις ὁμαλοὶ, καὶ ὁμόφρονες, ἄμφω ἔχοντες
πίστιν ἀεὶ χλωρὴν, ἅτ' ἐλάϊνα δένδρεα φύλλον,
τὸ κρύος οὐ τρέφει δυσχείμερον, οὐ θέρος αἶθον.
νωλεμέως δ' ὑπέμεινεν ἀτειρὴς, μηδὲ τυράννων
τρέσσε βίην ὑπέροπλον, ἀπηνέα, μηδὲ δαφοινοὺς
πλῆσσε χέρας, θάνατόν τε δυσηχέα, ἀλλ' ὑπὲρ ἄμφω
ἰφθίμας ψυχὰς ἀγέλης ἀπέθεντο προθύμως.
ἡμῖν δ' οὖν ἐπέοικεν ἐλαίοισιν ἀγλαοκάρποις
τοῖς δ' ἐπαγάλλεσθαι μάλ', ἐπεὶ τὴν πίονα χυλὸν
πίστιος εὐθαλέος εἱλκύσαμεν, ἠδὲ βιώνης.
ῥυσμὸν ἀείμνηστον κότινοι γεγαῶτες ἄκαρποι
πρόσθεν, ἀηνάτ' ἀναλδῆ, ἀτὰρ νῦν καλαὶ ἐλαῖαι
ἐκ τουτέων γιγνόμεθα βρύουσαι εὐκλέϊ καρπῷ.
τὼ δ' ἱερῶν οἴων ἱερωτάτω ἄνδρε νομῆε
εὐγλαγέας μαστοὺς τὸ παλαίφατον εἶπεν ἄεισμα
στέρνῳ τῆς νύμφης συναρηρότας ἱμερόεντι.
τοῖα δ' ἐπαινήσας γάρ μιν προσφθέγξατ' ἐραστὴς
ἄφθιτος, ἀργύφεοι μαστοὶ νεοθηλέε νεβρὼ
εἰσὶ σέθεν διδύμω, κυδρὴ νυὲ, κρίνεσιν ἁβροῖς
βοσκομένω, μέσφ' ἦμαρ ἐπιπνεύσῃ νέον ἡμῖν,
καὶ δὲ σκιαὶ δύωσιν ὑπὸ ζοφοειδέα χῶρον.
ἡ μὲν θεὴ μήτηρ νυὸς ἦν, τῇ ταῦτα λέγονται,
ἔνθαδε τῆς φωνῇ τοῦ γαμβροῦ νῦν κελαδεῦνται
οὐρανίου; καὶ ταῦτα πέλειν διδυμάον' ἀδελφὼ
τούτω ὁμοκλήρω τεκμαίρει τοὔργον ἑκάστου,
ἠδ' ὑποθημοσύνης μνημήϊα καρποφόροιο.
οὐδὲ γὰρ οὐδ' ἄλλοις πλέον ἔτραφεν ἱερὰ μαζοῖς
συμμορίης φίλα τέκνα θεοκλήτοιο διφύλου.
τοὺς δέ ποτ' οὐρανίδης νεογιλῷ, ἠδὲ πενιχρῇ
ταύτῃ παντοκράτωρ πρὶν ὑπέσχετο, ἢ κατένευσεν
δοῦναι,



*Hi duo pastores concordi mente vigentes.*
*Ambo fide semper virides, velut arbor oliuae,*
*Quam neq; percellit frigus graue, nec calida aestas.*
*Hac stetit inuictus, nec formidauit atrocum*
*Ipse tyrannorum vesanam vimque, manusque*
*Carnifices, caedemue trucem, verùm ambo beatas*
*Deposuere animas pro vita dulcis ouilis.*
*Exsultare decet nos ergo his semper oliuis*
*Fertilibus, quando pinguem succum hausimus inde*
*Vernantis fidei, ac semper memorabile honestae*
*Exemplar vitae, quondam steriles oleastri,*
*Quiq; humiles fuimus frutices, sed iam bona oliuae*
*Ex his effecti, praeclara fruge nitemus.*
*Hos gregis altores sacri, caulaeque beatae*
*Antiquum vocitat carmen sponsale mamillas*
*Lacteolas, sponsae consertas pectori amandae.*
*Taliter adlaudans quippe hanc adfatur amator*
*Ille immortalis. Mammae sunt sponsa gemelli*
*Cara tuae hinnulei, qui pascunt inter odora*
*Lilia, clara dies dum nobis luce recenti*
*Spiret, & obscura subeant inferna tenebrae.*
*Nostri mater erat sponsa haec, cui talia dicta.*
*Voce celebrantur cuius nunc vbera sponsi*
*Caelitis, atq; istaec fratres hos esse gemellos*
*Sorte simul, studijsq; pares, opus adprobat horum,*
*Et monita vbertim doctrinae fruge referta.*
*Haud duplicis soboles alijs creuere papillis*
*Hisce magis coetus regnum ad caeleste vocati.*
*Hos olim superum nuper genitae, atq; inopi Rex*
*Adnuit omnipotēs spondens se huic esse daturū.*

δοιῶαι, ἄνακτες, ἔφασε, τιθηνητῆρες ἔσονται
σεῖο φίλη νύμφη, καὶ θηλὴν θήσετ' ἀνάκτων.
αἱ δέ κυ γυναίῳ μὴ τέτροφεν ὧδε γάλακτι,
οὐκ ἂν ἀέξηθη εἰς τόσσον κύδεος ὕψος,
οὐδὲ τόσην ἀρετὴν ἐκτήσατο, καὶ μένος ἠΰ.
ἦ γὰρ ἔσαν κείνη λιπαρή, πίειρά τ' ἄρουρα
πληθόωσα γλάγει λευκῷ, ῥείθροις τε μελιχροῖς,
τήν ῥα παλαιγενέεσσι θεὸς πατέρεσσιν ὑπέστη
ἡμετέροις ποτὲ δοιῶαι, ἐπεί τις ἂν ἥδιον ἄλλο,
λευκότερόν θ' εὕρῃ διδαχῆς, ἢ ῥήσιος ἀμφοῖν;
εἰνεσίαι γὰρ ἔασιν ἐπαύλιος οὔθατα θείης
τὴν δ' ἀτιτάλλουσαι λαοὺς θεοπειθέας αἰεί,
καὶ προσιοῦσαι σωτήριον ἄφθονον ὄλβον.
πρὸς νοερὸν προκάλιζε γάλα κληδοῦχος ἀφύξαι
τὴν νεολαίαν ἀγὸς ὅσην πόρσαινε νεαλδῆ,
ἠΰτε μαῖα βρέφη τις, ὅτ' ἦν ἔειπε, τεκνία λαρὸν
μοὶ ποθέοιτε γλάγος λογικόν τ', ἄδολόν τε ζαφῆναι.
ὄφρα κεν ἀλδήσκητε, καὶ εἰς μέτρον ἀνδρὸς ἵκησθε.
τοὺς μαζοὺς δὲ παρέσχε γλαγόφρεσι κεδνὸς ἀγάστωρ,
οἷα τροφὸς φιλέουσα φέρει λαγέας τεκέεσσιν,
οἷσπερ ἔφη, γάλα θῆκ' ἐπηετανὸν πόρον ὔμμιν,
ὡς βρεφέεσσι πιεῖν ποτὸν ἄρμενον ἀρτιγόνοισιν.
ὡς δὲ πέπληθε γάλακτος ὅδ' ἥρως πνευματικοῖο,
ἀργεννόεσσα ῥοή, τὴν ἔκλυσε δειροτομηθεὶς
αἵματος ἀντ' ἐρυθροῦ σαφέως ἀμφῆνεν ἅπασιν,
οὗτ' ἀμφ' οἷς ψυχὴν πόρεν, οἷς τε μασὸν ὄρεξεν.
οὔτι κελαιναύγες φέρεν ἥρως, οὐδὲ δαφοινὸν,
ὅς γε τιθήνη ἔγεντ' ἐκ δημίου αἱμοβόροιο.
πᾶς γλαγερὸς δὲ πέλε, καὶ στοργῆς μεστὸς ἐυνοῦς.
οὐδ' οἷον πλέον εἶχεν ὅδ' οὖθαρ πάγχυ γάλακτος,

ἀλλ



*Quippe tui, inquit, erunt altores candida Reges*
*Sponsa mea, & dulci Regum lactabere mamma.*
*Hæc nisi pasta foret tam forti paruola lacte,*
*Haudquaquã in tantũ creuisset culmẽ, & augmẽ,*
*Indole nec tali foret, ac virtute potita.*
*Hi duo erant proceres pinguis, foecundaq́; tellus*
*Illa fauis manans, ac lactis largiter vndis,*
*Quam longè antiquis patribus promiserat ante*
*Se dare velle Deus: nam quid vel dulcius horum,*
*Candidiusue queat dictis reperirier almis?*
*Nam quæuis horum fit coetus vber abundans*
*Pagina sacrati, gentemq́; alit vsque piorum,*
*Atq́; salutis opes non cessat fundere in omnis.*
*Tale inuitabat lac degustare nouellum,*
*Quam bene formabat plebem Dux clauiger olim,*
*Ceu nutrix pueros, vbi ait, dilecta propago*
*Quisq́; mihi cupiat rationis alescere lacte*
*Sincero, vt crescat, roburq́; capessat adultum.*
*Candida præbebat frater quoq́; nobilis huius*
*Vbera, tamquam altrix infantibus officiosa*
*Iis quibus alebat; lac vobis præbui abunde*
*Dulce, recens ortis ceu paruis sugere potum.*
*Lacte redundarit quantum Heros iste superno,*
*Candens vnda caput, quam cæsus protulit idem*
*Sanguine pro rubro, manifestè vociferatur,*
*Quõ dedit ipse animã ꝓ quis dedit antè mamillã.*
*Nil tenuit fuscum pius Heros, nilq́; cruentum,*
*De lictore truci fuerat qui factus alumnus*
*Totus lactifluus, totus pietate refertus.*
*Nec tantùm hic uber gestabat lactis abundans,*

DD 2 Quan-

ἀλλὰ καὶ οὖλος ἔην οὖθαρ, γάλος ἄργυφον οὖλος.
οὖλος ὃς ἦν οἶκτος, καὶ μειλιχίη ἐρατεινή.
οὔθατα πρίνπερ ἔχειν τάδε πρωτόγονος κατὰ γαῖαν
εὐιερὴ ἀγορὴ, μακάρων ἀγορὴ κατ' Ὄλυμπον,
οἷα φιλάνθρωπος, καὶ ἡμέων κῆδος ἔχουσα,
τοιάδ' ἀδημονέουσα παλίσσυτον εἰσαναβάντα
πρὸς βασιλῆα θέανδρον ἐπ' οὐρανὸν ἄστρα φέροντα
οἰκτρὰ κινυρομένη μυθήσατο, καὶ προσέειπεν.
ὦνα πάτερ θνητῶν, καὶ ἀθανάτων πολυόλβων,
παῖς ἔτι κουρίζει, καὶ ὀλίζων ἔπλετ' ἀδελφὴ
ἡμετέρη, μαστοὺς δ' οὔπω βλάστησε προσηνεῖς,
οὐδέ τί πω τυτθὴ δύναται τὰ νεόγν' ἀτιτάλλειν
τέκνα σέθεν, τάπερ αὐτὸς ἐγείνησας λόγῳ ἁγνῆς
ἀτρεκίης, μάλα δ' ὦκα λίπες ἀπονόσφι λιασθεὶς
αὐτὸς ἀκηδήσας. τίς μαιώσαιτο παρασταὶς
ἀρτίγονον φῦτλον κομέων ἀταλόφρονα σεῖο
ἄλλος ἀνήρ; ἆ τήνγε πάτερ οἴκτειρε τάλαιναν,
ὄφρα κ' ἐπιτρέφοιτο διαμπερὲς εὔσοος οὖσα.
τὴν δ' αἴων μομφὴν μεδέων ἔπλησε γάλακτος
τοὺς δὲ τροφεῖς θείου, ἀγέλη τε παρέσχε θεουδεῖ.
κηδεμόνας γεραροὺς, καὶ ἀγρύπνους ποιμένας ἄμφω,
οἷά τε πρὸς στήθει τῆς νύμφης ἥρμοσε μαστούς.
τοιγὰρ ἐπεὶ τοιάδ' ἔσχε, γυνὴ ἅπερ εὐθατόεσσα
ἤδη που γεγαῦια μετ' ἄσμασιν εὐχετάαται
μητέρα τ' εὔτεκνον, καὶ δὴ πόλιν ἔμμεν ἐρυμνήν.
αὐτὴ ἐγὼ, φάτο, τεῖχος, ἐμεῖο δὲ τύρσιες ἄκραι
μαστοὶ ἀειθαλέες. σάκεα προθέλυμνα δὲ τούτων
μυρία ἤρτηνται, καὶ πανσαγίη μενεχαρμέων.
εἰ δ' ἄγε νῦν θηλέων ζάθεον γάλα νηπιάχοισιν
παῖδες ἀμέλγωμεν στόμασι βλίττοντες ἄπαστοι,

ὄφρ'



*Quantum totus erat plenũ uber, lacq́ merũ ipse,*
*Qui miseratio totus erat, dulcedoq́ totus.*
*Haec prius in terris quàm gigneret vbera nostra*
*Mater, in excelsis superum pia concio Diuum,*
*Vtpote amans hominũ, ac nostri studiosa, fauensq́,*
*Talia moerenti promebat mente reuerso*
*Stellantis cæli in sedis hominique, Deoque*
*Ex animo queribunda precans pro gente relicta.*
*Rex hominũ, superumq́, Pater pie morte carentũ,*
*Cara adolescit adhuc, germanaq́ nostra pusilla'st,*
*Vbera produxit nondum lactantia prolem,*
*Nec nutrire potest infantis paruola natos,*
*Nempe tuos, quos ipse Sator verbo genuisti*
*Veridico præsens, mox crudos deseruisti*
*Securus miseros abiens, nutrire recentem*
*Quis poterit stirpẽ amplectens, partusq́ tenellos,*
*Alme tuos? Ah magne Pater miseresce tuorum,*
*Donec firmentur perfecto robore adulti.*
*His ergo auditis placida Rex aure querelis,*
*Hos nutritores diuino lacte refersit,*
*Atq́ pio tribuit pastores, atq́ magistros*
*Esse gregi, ad pectus velut addens vbera sponsæ.*
*Quare hos iã nacta, vt mammis matrona decẽter*
*Compta suis, perlaeta canit, iactatq́ beatam*
*Se prole effectam, munitamq́ insuper vrbem.*
*Ipsa ego, ait, murus, sunt propugnacula nostra*
*Florentes mammæ, dependent mille frequentes*
*Ex hisce clypei, cuncta armatura potentum.*
*Ergo agite exhausti lac depromamus ab hisce*
*Vberibus pusi sacris auido ore trahentes*

*Syde-*

ὄφρ' ἀτιταλλώμεθα, καὶ ἡβώωμεν ἐδωδῇ
νεκταρέης σοφίης ζείδωρον πνεῦμα λαβόντες.
οὐδὲ γὰρ οὐ μινύθοντά ποτ' οὔθατα ταῦτα δαείης.
ἀλλ' ἄγ' ἐπεὶ μαστοὺς ὑμνήκαμεν ἱεροθαλλεῖς,
χρὴ περὶ λαμπτήρων τι τὸ λοιπὸν μυστικὸν εἰπεῖν
αἰθομένων κατέναντι διαμπερὲς ἀθανάτοιο.
καὶ γὰρ ἡ κλεινὼ ἱερῆς μετὰ κληδόσιν ἄμφω
κλήτορε λαμπτῆρας μεγάλου προπάροιθε θεοῖο
τώγε κλύειν δῆλον συνεχῶς κατὰ νύκτα καὶ ἦμαρ
λαμπομένους· λαμπτὴρ γλαφυρὸς γὰρ ἐνήμα τρίπεζος
πᾶς τις ἔφυ καλῶς γε τετυγμένος, αὐτὰρ ὕπερθεν
τοῖο φέρει καυλὸς δαΐδος τηλέσκοπον αἴγλην
ὑψιτέρῃ κορυφῇ τανακεῖ, ὄφρ' ἐπὶ δῶμα
αἴθοπι νυκτὸς σέλας ἀθρήσωσι κιόντες.
οὕτω ἀοιδοφόροι μεγάλου θεοῦ οἵδε φαεινοὶ
ἀλκαῖσι τριδύμοισιν ἐρειδόμενοι, ἅτε ποσσίν,
πᾶσιν ἐπερχομένοις πρὸς πίστιν φέγγος ἔδειξαν
χριστὸν ἐπιχθονίοισι παναρκὲς, ἔρχαμον ἀνδρῶν,
πατρὸς ἀειγενέτην ὑπάτου γόνον οὐρανίδαο.
πρῶτα γὰρ ἐργασίῃ τηλαυγεῖ πίστιν ἄεξον,
ἐσθλὸν ἄνακτα σφέων μιμούμενοι, ὅς τε καὶ αὐτὸς
ἤρξατο μὲν ποιεῖν, μετέπειτα δὲ λῶστα παρειπεῖν.
δεύτερον αὖ πίσυνοι κηρύγματος ἀγλαοφώνου
βροντῇ ἐριγδούπῳ χριστὸν πάντεσσιν ἄνειπον
ἔθνεσι, καὶ λαοῖς ξὺν δόγμασιν ἰθυτενέεσσιν,
ἀστεροπῇ δὲ ξίτον θεοδινεῖ παμφανοώντων
θαυμασίων, ἅπερ αὐτοὶ ἐποίεον, ἐξανέφηναν
πᾶσι μέγαν σωτῆρα δυσπαθέων ἀνθρώπων.
ἄμφω δ' οὖν ὁσίην αὐλὴν τρισσαῖς χαρίτεσσιν
ταῖσιδ' ἀέξησαν, λαμπροὶ ζαθέοισιν λογίοισιν,

ἔργμα-



*Sydereum, quo quisq; cibo crescamus opimo.*
*Nectareæ sophiæ, vitali flamine capto.*
*Namquā etenim hæc niueo cernas defecta liquore.*
*Nūc agedū mammas postquā celebrauimus almas,*
*De candelabris quid sacrum dicere oportet,*
*Ante Deum lucent, quæ iugiter immortalem.*
*Quippe Dei testes in sacris vocibus ambo*
*Candelabra cluere micantia nocte, dieque*
*Ante Deū magnū manifestò constat vtrumque.*
*Nam candelabri consit pede triplice forma,*
*Si ratione fabra confiat, at illius altus*
*Fert scapus faculam longè, lateq; micantem*
*Vertice sublimi, qua lumen cernere possit*
*Quisq; domum remeat, si pergat nocte silenti.*
*Sic duo Legati pacis pia dona ferentes*
*Hi fulti triplici virtute, velut pede trino,*
*Cunctis præpandunt fidei subeuntibus arcem*
*Christū almum lumen nostrū Dominūq; Deūq;,*
*Æternam prolem cælestis Patris amatam.*
*Nam vita radiante fidem prius augmine donant,*
*Regis ad exemplum laudabile, qui quoq; & ipse*
*A factis coepit, mox est præclara locutus.*
*Deinde rudimentis freti, lituoq; sonantis*
*Eloquij Christum declarant omnibus æquè*
*Gentibus, ac populis, decretaq; recta recludunt.*
*Deniq; vibrato diuino fulgure longè*
*Admirabilium factorum prodigiorum,*
*Saluatorem hominū reserare, ac pandere pergunt.*
*Ambo igitur sanctam trinis his dotibus aulam*
*Amplificauerunt, clari sermone nitenti,*

*Sed*

ἔργμασι λαμπρότεροί τ' ἐρικυδέσιν, ἀλλ' ἔτι μᾶλλον
θαύμασιν ἔκπαγλοι, τέρασίν τ' ἐπιδεικνυμένοισιν.
φράζεο δ' οἷα φλέγει πέτρος μέγας, ἀμφὶ πλατείαις
φησὶ, νόσοις ἄνδρας, καὶ πήμασιν ἐξεφέροντο
λωβητοὺς χαλεποῖσιν ἐπιστιβάδεσσι χαμεύναις,
ὄφρα κ' ἐπισκιάσῃ πέτρου σκιὴ ἀσθενέοντας,
καὶ τάχ' ἀπηλλάσσοντο νόσων, κηδέων τε ἕκαστος,
ᾧτιν' ἐπιψαύσῃ τ' ἴχνος χειρὸς ἠγαθέοιο.
φράζεο δ' ὡς σκιμβὸν σφετέροις στείξατο ποσσὶν,
ὅστε πύλης προάθεν νηοῦ ἐκάθητο προΐκτης,
ἀλλόμενόν τ' ἀπέδειξε, καὶ εὐφημεῦντα κατ' αἶσαν.
φράζεο δ' ὥστε γυναῖκα βιώσατο Δορκάδα νεκρὴν,
καί ῥ' οἰκτροῖς ἀπέδωκεν ὄχλοις οἰκτίρμονα χήρην.
αἳ τέμιν ἀχνύμεναι σὺν ὀδυρμοῖς ἀμφεχύθησαν
χῆραι δεικνύμεναι τὰ χιτώνια Δορκὰς ἐποίει,
ὄφρα μεθ' σφὶν ἔην ζωοῖς ἐναρίθμιος οὖσα.
φράζεο δ' ὡς ἔρρωσε λελυμένον ἅψεα πάντα,
αἰνείαν στρωμνῇ κατακείμενον, ὧδε μετειπών.
αἰνεία σ' ἔγ' ἰῆται ἰησοῦς. ὄρσεο θᾶσσον·
ὄρσεο, μηδ' ἔτι κεῖσο. τάφος δ' ἕλε πάντας ὁρῶντας,
χριστὸν ἀοιδιάζόν τε, καὶ ὀρθὴν πίστιν ἄροντο.
ὡς δέποτ' ἀβραμίδαις πηγὴν ἀνέῳξεν ἄχραντον
ἐκ πέτρης κατ' ἔρημον ἄλης, καὶ ὀϊζύος αἰνῆς
τειρομένοισι θεὸς, τὼς φέγγεος ἄφθονον ὁλκὸν
ἐκ πέτρου μεγάλου ἐξήγαγεν, ὅστις ἀφεγγῆ
κόσμον ὅλον κατέλαμψε φαειναῖς πίστιος αὐγαῖς.
ταῖς δὲ διαυγείαις νῦν πᾶσα χθὼν ἀμαρύσσει.
ἀθανάτου στεροπῇσιν ὅλη περιλάμπεται αἶα.
δέρκεο καὶ παύλου μένος ἄσχετον ἶσον ἀέλλῃ
αἰψηρῇ περόωντος ὅλην ζαφερήν τε, καὶ ὑγρὴν,

γυο-



*Sed mage conspicui vitaque, & moribus almis,*
*Deniq; mirificis portentis splendidiores.*
*Aspice quã magnus flagret Petrus, vndiq; morbis*
*Adflictos, inquit, varijs, & clade ferebant*
*Tabifica in vicos tegetes super, atq; grabatos,*
*Vt quemquam illorum Petri contingeret vmbra,*
*Et lue continuò pulsa reualesceret omni,*
*Cuicumq; ingruerent vestigia corporis almi*
*Aduorte vt scaurum prauis fultum malè plantis,*
*Ante fores templi qui capta se stipe alebat,*
*Ostendit salientem, & laudes rite canentem.*
*Contemplare quoq; vt Dorcas sit reddita vitæ*
*Pristinæ ope illius, miseræ & pia præstita turbæ.*
*Quando ipsum circum viduæ fudere gementes,*
*Atq; ostendentes tunicas, quas fecerat ipsa*
*Dorcas adhuc viuens sibi consociata, comesque.*
*Cerne itidem vt miserum solidauit cuncta solutũ*
*Membra thoro Aeneam recubantem talia fatus.*
*Aenea te sanet Ihesus. surge repente.*
*Surge age, ne decumbe, viros stupor hocce uidentis*
*Occupat, & Christũ celebrãtque, fidẽq; receptãt.*
*Ceu quondã Hebræis fontem reclusit abundum*
*Ex petra adflictis errore, laboreq; longo*
*Per deserta Deus, sic tractum luminis ampli*
*Ex magno Petro produxit, quo tenebrosum*
*Mundum inlustrauit fidei splendoribus almis.*
*His sacris radijs nunc tellus tota refulget.*
*Fulgure diuino terræ perfunditur orbis.*
*Aduorte & Pauli feruorem turbinis instar*
*Velocis, penetrantis humum, pariterq; profundũ.*

*EE* *Pel-*

γνοφόεσσι σφακέλοις, καὶ λύμας ἐξελάοντος,
καὶ φθιμένοισι βροτοῖς ζωῆς φάος αὖτις ἄγοντος,
ψευδοφανέων τε θεῶν σηκοὺς βάλλοντος ἔραζε,
καὶ χθονὸς εὐρυπέδοιο καταυγάζοντος ἀλωὴν
πᾶσαν ἀριζήλοις ἀμαρύγμασιν οὐρανοδείκτοις.
ὦκα θέει Παῦλος, καὶ μύθων ἀλκὶ πεποιθὼς
πάντα περιστίλβει κνέφαϊ εἰλυμένα πυκνῷ
νύκτα κακὴν λύων, καὶ ψυχέων ἀχλὺν ἀϊδνόν,
οἷά πάρος χρησμῳδὸς ἐθέσπισε δῖα σιβύλλη
ἀμφ' αὐτοῦ Δελφοῖς ἐνὶ παιπαλόεσσι γεγῶσα.
εἶδεν ἑκαί περ ἐοῦσα γὰρ αὐτὸν μηκέτι φῦντα
ἐν θνητοῖσι νόῳ πολυφραδμονι, καὶ πλάκα γαίης
πᾶσαν ἐπερχόμενον νοεροῖς ἀκτῖσι περίφαντον,
τοῖο δ' ἕκητί μιν αὐτὸν ἐφήμισεν ἀστέρα δῖον,
τῶν τετόρων ζώων μορφὴν, καὶ σχῆμα φέροντα,
καὶ Δαναοῖς γλαύσσοντα, καὶ εἰς τέλος ἀενάοιο
αἰῶνος τανύοντα βροτῶν ὑπὲρ ἀμπλακιάων
ἀρνὸς ἀμωμήτου σφαχθέντος τοὔνομα σεπτόν.
ἐν τοῖσδεσσι δὲ πᾶσιν ὅδ' ἔπλετο κεῖνος ἀριστεὺς,
ὃς τοὺς γαῦρος ἄειρε κατὰ χριστοῖο τένοντας,
αὐτὸς ἑκὼν μετέπειτα περὶ χριστοῖο κοπῆναι
κάμψε καταπρηνεῖς ταναηκεῖ φασγάνου ἀκμῇ,
καὶ προὔθηκε σφαγαῖσιν, ἅτ' ἀμνός, λαιμὸν ἀμεμφῆ,
οὐδ' ὄκνησε θανεῖν τοῦ δ' εἵνεκα, τὸν σάφα οἶδεν
εὖ ζώειν μετὰ πότμον ἀεικέα, καὶ βασιλεύειν.
ὧδε δ' ἐγένετο πρόμον μεγαλήτορα, τλήμονι θυμῷ
ὃς τόσσοις πολέμοις, καὶ νείκεα παντοδαποῖσιν
ἔθνεσι μαρνάμενος περὶ πίστιος ἐκτολύπευσεν,
ὥστε θριαμβεῦσαι ῥώμην δέξασθαι ἄνασσαν.
δέκτο δ' ἀεθλοφόρον δαΐφρον δέσποινα πολήων





*Pellentis macies foedas, pestesq; nocentes,*
*Morteq; sopitis lumen vitale ferentis,*
*Diraq; falsorum vertentis fana Deorum,*
*Atq; serenantis latos telluris opacae*
*Conspicuis campos radijs caeli arce reductis.*
*Festinat Paulus, sermonum & robore fretus*
*Omnia conlustrat densa caligine tecta,*
*Pellit noctem animis, atq; atras discutit vmbras.*
*Ceu quondam de ipso praedixit prouida vates*
*Prosata Delphorum dumosa in rupe Sibylla,*
*Nondum quippe ortum iam viderat exoriturum*
*Inter mortalis praesago pectore, & omnis*
*Lustrantem terras sacro vibramine clarum.*
*Quapropter nitidam stellam ipsum nominitauit,*
*Quatuor instar habēte, & formā mirā animantū,*
*Fulgentem Danais, & metam in perpetis aui*
*Extendentem hominum pro culpis labe carentis*
*Agni mactati sanctum, ac venerabile nomen.*
*Inter cuncta istaec, est Heros nobilis ille,*
*Qui quas ceruices contra Christū extulit audax,*
*Idem pro Christo mox pronas sponte reflectens*
*Subiecit gladij rigido mucrone recidi,*
*Et iugulum hostili velut agnus praebuit ensi;*
*Nec dubitauit obire suo pro Rege benigno,*
*Viuere post mortem quem norat, & imperitare,*
*Sic factum, vt princeps non expugnabilis iste,*
*Qui toleranti animo tot praelia, bellaq; sacra*
*Gentibus in cunctis augusta pro fide obiuit,*
*Adciperet Romae palmam, laetumq; triumphū.*
*Roma hunc terrarum Regina excepit ouantem*

ἀστὸν ἐόν, περιμάχων πάντων κρατερώτατον ἄλλων,
ἀστὸν ἀεισδίσαντα τροπαιούχοισιν ἀέθλοις
νηρίθμοις κατὰ γῆν τε, καὶ ἠεροειδέα πόντον.
στέψε τε μαρτυρίου στεφάνῳ τιμαλφέϊ κόρσην
ἠνορέης τε χάριν, καὶ νικέων ἀγλαοδόξων.
τοῦ μὲν γὰρ κώδειαν ἀπέθρισεν ἄρταμος ὠμὸς,
ὃς τότ᾽ ἄναξ ῥώμης πρυμνήσιον ἡνιόχευεν,
εἵνεκ᾽ ἀληθείης, τὴν οὐ σθένεν ἐχθρὸς ἀκούειν,
καὶ κρυεροῖο μάγοιο, τὸν ἠέρος ἀξυγέτοιο
σὺν πέτρῳ ποτάοντα μετάρσιον ἔκβαλεν εἰς γῆν.
φαῖντο δ᾽ ἔθεν κέβλην, ὅτε δήμιος αἰνὸς ἄραξεν
τοὔνομα τρὶς χριστοῦ φωνῆσαι σεμνὸν Ἰησοῦ
τῇ πατρίῳ φωνῇ, τὸ ζῶν ὅγ᾽ ἔτ᾽ αἰὲν ἄειδε,
καί τε διὰ στόματος φέρεν ἔνθεα. ἠχέτ᾽ ἀνοῖξαι
δειροτομηθεῖσαν τρεῖς πίδακας ὕδατος ἁγνοῦ
τηλοῦ ἀπὸ τρισσοῖς πηδήμασιν ἀΐξασαν,
ὡς δεῖξαι τριφαῆ τ᾽ αὔξειν θεὸν, ἠδὲ γεραίρειν.
δειρῆς δ᾽ ἀρτιτόμου πρῶτον γλάγος, αἷμα δ᾽ ἔπειτα
ἔρρεε δαψιλέως, ἔφυρε τόπερ εἷμα φονῆος.
ἄλλοι δ᾽ αὖτ᾽ εἶπον ῥόον ἄργυφον ἐξέμεν οἶον.
αἴγλη δ᾽ αἰθύσσουσα δι᾽ αἰθέρος εὐρυάλοιο
λάμψεν ἀείζηλος, καὶ ἀθέσφατος, αὐτὰρ ἀϋτμὴν
ἥρωος κταμένοιο θυώδεα χεῦε τὸ σῶμα.
ἀμβροσίης δ᾽ ὀδμῆς περί τ᾽ ἀὴρ ἀμφίτ᾽ ὀδώδει.
Τοίη μὲν παύλου γένετ᾽ ἀθλητοῖο τελευτή.
λαοσεβεῖ δ᾽ ἥρωϊ νεὼν θαητὸν ἔδειμαν
ὁπλότεροι, τοῦ γ᾽ οὔτι θεώτερον ἄλλον ἴδοιο.
οὐδ᾽ ἵδρυμα χερὶ βροτέῃ ποτ᾽ ἄρτιον ἐτύχθη.
λείψανα δ᾽ ἐν τούτῳ θέσαν ἱερὰ λάρνακι χρυσῇ.
ἔνθα τελεσφορίην πανδήμιον ἤματι κείνῳ

στῆσαν



*Vt ciuem, ac procerem superantem viribus omnis,*
*Innumeris clarum spolijs, amplisq́; trophaeis.*
*Per terram partis, perq́; humida carula ponti,*
*Et Ducis euinxit viridanti tempora serto*
*Martyrij tantae virtutis, & indolis ergò.*
*Euius enim teter lanio caput abscidit almum,*
*Qui Romae rector tum clauum forte tenebat,*
*Ob verum Christi cultum, quem audire nequibat,*
*Itq́; magi interitum, quem vasto de aere in imã*
*Cum Petro abiecit terram sublime volantem.*
*Iroditur ut lictor secuit caput ipsius atrox,*
*Id Christi clamasse diserte nomen Ihesu*
*Ier patrio sermone, pio quod semper in ore,*
*Cordeq́; gestabat uiuens, reserasseq́; ibidem*
*Treis liquidos fontis sectum, laticesq́; perennis*
*Exsiliens triplici saltu de corpore trunco,*
*Quo Dei adorasse trinum iubar insinuaret.*
*It caesa ceruice prius lac, postea sanguis*
*Fluxit, carnificis quo tincta est lana cruenti.*
*Porro alij perhibent solum album exisse fluorem.*
*Exsiluitq́; micans cali per caerula mirum,*
*Conspicuumq́; iubar, corpusq́; emisit odorem*
*Occisi Herois diuinum nectar olentem.*
*Qui latè halauit sudum per inane volutus.*
*Haec finis Pauli pugilis sublimis in orbe.*
*Heroi at culto populis posuere minores*
*Templum admirandum, quo non augustius ullum.*
*Nec talis manufacta in nostro uisitur orbi*
*Machina, & ossa Ducis clausere hic aurea in arca.*
*Et sollemne sacrum populariter instituere,*

*Nempe*

στῆσαν ἑορτάζοντες ἐτήσιον, ᾧ λίπεν αὐγὰς
ἠελίοιο θεοῦ φαιδρὸν ποτὶ δῶμα μετελθών.
οὐδὲ καταβρέξω σιγῇ πέτροιο φερίστου
μαρτύριον τηλαυγὲς, ἐπεὶ μέγα κῦδος ἄνακτι
τοῦτο φέρει μακάρων, ὅς μιν κύδηνε δι' αὐτοῦ,
καί τε πρὸς αἰθερίην λῆξιν λάβεν. ἦλθεν ὁ πρέσβυς
ἐκ συρίης κατόπιν σίμωνος τερθρέος αἰνοῦ,
ὃς ῥώμην προφθὰς συγερῇ ἀπὸ λαὸν ἅπαντα
πλάζε γόης τέχνῃ, καὶ χριστὸν σεῦε μεγαίρων
ἡγεμόνος πρόφασιν κεχρημένος ἀργαλέοιο,
ὅς τ' αὐτὸν φιλέεσκε, καὶ ἐν πρώτοισιν ἐτίμα.
φάσκε δ' ἑαυτὸν ἔμεν δύναμίν τ', ἀλκήν τε θεοῖο,
καὶ καλὰ πάντα δύνασθαι ὅτεῳ βούλοιτο παρασχεῖν,
μακρείδιόν τε βίον, καὶ ἀνακτορίης κράτος αἰπὺ,
καὶ νίκην ἀγέρωχον, ἰδ' ἱμερόεσσαν ὑγείαν.
τοῦτον δ' οὖν πέτρος μεθέπων μετεκίαθε ῥώμην
ἐσσυμένως, ἀγέλην θεοπειθέα μήτι πλανήσῃ
τὴν νεαλῆ, καὶ χριστὸν ἑοῦ κλήροιο βάλησι.
σεῦτο δ' ἑαῖς φθιμένους ἐπαοιδαῖς ἄνδρας ἐγεῖραι,
ἀρρήκτους τε πέδας λῦσαι, καὶ δεσμὰ μόροιο.
καὶ τότ' ἀπ' εὐπατριδέων συνέβη θανέειν τινὰ κοῦρον
οὐλομένοιο νέρωνος ὁμαίμονα καίσαρος ὄντα.
πειρᾶται δ' οὖν τόνδε παλίσσυτον ἐξ ἀΐδαο
ζωγρῆσαι σίμων, καὶ σχέτλιος οὐκ ἐδυνάσθη.
πειρᾶται δὲ πέτρος ἀποπνεύσαντα σαῶσαι
ἱκεσίῃσι λιταῖς ὄνομα χριστοῖο καλέσσας
κοῦρον προθήβην, καὶ ἀνεψύχωσε θανόντα,
μητέρι πενθαλέῃ τε παλίμπνοον ἐγγυάλιξεν.
καὶ τότε δὴ σίμων κακομήχανος ἠγαθέοιο
ἡττᾶσθαι πέτρου χαλεπαίνων τ' ἀσχαλόων τε.

εἶπε



*Nempe die victor qua liquit lumina Solis;*
*Atq; hilarem summi migrauit Regis in aulam.*
*Sed neq; transierim Petri praesigne silenter*
*Martyriū, superū quando hoc decus addidit ingēs*
*Rectori, creuit qui hunc insignire per ipsum,*
*Caelestem ad requiemq; adsumere. Venit ab oris*
*Hic senior Syriae Simonis pone secutus*
*Terga magi, Romam qui peruertebat iniquis*
*Artibus anticipans, & Christum arcebat ab ipsa*
*Vrbe fauore trucis peruorso Regis abutens,*
*Qui unicè amabat eum, primoresq; inter habebat.*
*Quippe Dei aicbat virtutem se esse supremi,*
*Et bona cui vellet largirier omnia posse,*
*Extentoq; aeui spatio, regnoq; potiri,*
*Et vita incolumi, palmae & splendore superbo.*
*Hunc ergo insectans Petrus properauit ad vrbem,*
*Ne Domino addictum fallax seduceret agmen,*
*Atq; sua Regem sorte exturbaret Inunctum:*
*Quin etiam extinctis spondebat carmine vitam*
*Reddere posse viris, nexusq; resoluere mortis.*
*Tum de patriciјs defungi sorte Neronis*
*Quendā adolescentē de sanguine contigit ortum.*
*Hunc igitur uapidus rediuiuum educere ab Orco*
*Conatur Simon, nec proficit impius hilum,*
*Petrus itē exanimē tum demū expergere ephebū*
*Adgreditur precibusque piјs, & nomine Ihesu*
*Loetali è somno, subitoq; animauit eumdem,*
*Et maestae matri spirantem reddidit illum.*
*Tum vero Simon indignans, inq; gemiscens*
*Improbus à Petro superari, & vincier almo.*

Vorsari

εἶπε μέγ' ὀχθήσας δήμου κατεναντία παντός.
μηκέτ' ἔπειτα θέλειν θνητοῖσι συνέστιος ἔμμεν,
βούλεσθαί τε πόλιν προλιπεῖν, τὴν πρόσθεν ἔρυτο:
οὐδ' ὕβριν, λώβην τε φέρειν ἀνδρῶν γαλιλαίων.
στεῦτο δ' ἀποπτάσθαι ποτὶ οὐρανὸν ἀστερόεντα,
οἷάπερ ὑψιπέτης τανυσίπτερος αἰετὸς ὄρνις.
καί δ' ἦμαρ διέειπε κεκριμένον ὄχλον ἀγείρας,
τῷ μεταναστεύειν εἰς οὐρανὸν ἤθελεν εὐρύν.
καὶ τότε σὺν λαοῖς ἀναβὰς ταρπήϊον ἄκρην
ἤρξατο ποτᾶσθαι κούφαις πτερύγεσσιν ἀερθεὶς
ἐκ πάγου ὑψιλόφοιο. τάφος δ' ἕλεν ἄνδρα ἕκαστον.
καὶ τότε τις εἴπεσκεν ἰδὼν πρὸς πλήσιον ἄλλον.
οὔποτε τοιοῦτον χριστὸς τέρας αὐτὸς ἔοργεν.
θείης τοῦτ' ἀλκῆς μὲν σώματος ὑψιφορεῖσθαι.
ἀχνύμενος δὲ πέτρος κάμψεν γόνυ χεῖρας ὀρεγνὺς,
οὐκ οἶος δ' ἅμα τῷ καὶ παῦλος πιστὸς ἑταῖρος,
εὐρυβίην τε θεὸν κάλεον. μὴ τέτλαθι σῶτερ
ἀνθρώπων μέγα, τόνδε μετάρσιον αἰωρεῖσθαι
εὐρυβάτην τελχῖνα σὺν αἴσχεϊ πίστιος ἁγνῆς.
τοῖο τέχνην ἀλίωσον, ἀνίην τε κόλουσον ἀναιδῆ,
μὴ λαὸν παρεόντα, καὶ οὐ παρεόντ' ἀπάφοιτο,
ἐξ αἰπήεντος πεσέτω κόλποιο κυλισθεὶς,
μηδὲ θάνῃ, λιτόμεσθα, πρὶν αὖ βασιλείαν ἴδοιτο
ὤνα τεὴν, καὶ κῦδος ἀοίδιμον αὐξόμενόν σου.
ὣς ἄρ' ἔφη, φλογερὸς ἅρμα κέδασσεν ἀεροπότητον
τοῦ δ' εὐχὴ πυρόεσσα, καὶ ἐπρήνιξε χάμαζε,
οἷα κεραυνωθέντα βροτὸν πρηστῆρι πυρωπῷ
πρὸς ἔρπιον, σκελέων τεθραυσμένον ὀστέα πάντα.
ἐκ δ' ἐαγεὶς σφυρὰ μίμνεν ἀχρήϊον ἄχθος ἀρούρης.
οὐ πολλὸν δὲ μεταξὺ κατ' ἀκροτόμου πέσε κρημνοῦ

αὐτὸς



*Versari vlterius se nolle Quiritibus inter*
*Mortalis, dixit, nec terris velle morari,*
*Et quam seruabat se sc. vrbem linquere velle.*
*Haud Galilæorum iam ferre opprobria posse,*
*Velleq; dicebat stellantia templa subire,*
*Haud secus atq; ales præpes pernice volatu.*
*Indixitq; diem certum cum plebe vocata,*
*Qua migrare volebat in aetheris aurea tecta.*
*Tum vero inscenso Tarpeio colle frequenti*
*Cum populo, leuibus coepit volitare leuatus*
*E tumulo pennis, cuncti stupuere tuentes,*
*Tum quidam ad statis stupidi dixere propinquos;*
*Haud quaquā Christus factū umquā tale patrauit,*
*Non opus humanum sublimi corpore ferri.*
*Anxius at Petrus palmas ad sydera supplex*
*Tollit, & vnanimis Paulus, fidusq; sodalis,*
*Praualidūq; Deum vocitant. Ne magne Redēptor*
*Hoc facinus patiare, leuis volitare per auras*
*Hoc monstrum magicum cum probro relligionis:*
*Huius frange dolos, conatumq; impedi inanem,*
*Ne caluat populum, qui spectat, & audiet absens:*
*Aerio cadat, Alme, sinu reuolutus ad ima.*
*Nec tamen intereat penitus prius ille, tuum Rex*
*Quàm videat regnum surgēs, columenq; coruscū.*
*Sic fatus, currum discerpsit in aere vectum*
*Flammineum feruens oratio, praecipitemq;*
*Fulmine ceu tactum mortalem trusit ad ima*
*Impurum, iacuitq; elisis cruribus illic.*
*Sic fractus suras terræ fit inutile pondus.*
*Haud ita post multo scopuli se è vertice iecit*

 *Spon-*

αὐτὸς ἑκὼν δι᾽ ὄνειδος ἀδημονέων, καὶ ἀλύων
ἄλσει ἐπ᾽ ἀρικίας σκιερῷ, ἀΐδος δὲ κατῆλθεν.
ὧδε παλαμναῖος σίμων θάνεν. αὐτὰρ ἀχεύων
τοῦτο νέρων καῖσαρ, καὶ ὀδυρόμενος περὶ κῆρι
ἀνδρὸς ἀτεμβόμενος, τὸν ἴσον φαέεσσι φίλησεν,
μάστευε προχανῶς χριστοῦ κήρυκας ὀλέσσαι.
καί τε τελευταῖον πέτρον σταυροῦσθαι ἀνώγει,
ἀντίτυπον μίμημα φιλαιτάτου εἷο ἄνακτος.
καὶ κεφαλὴν τμηθῆναι ἀμεμφέος ἄμμιγα παύλου.
οὐ πρέπε γὰρ ῥώμης κλεινὸν γεγαῶτα πολίτην
ἄνδρά τινα κτανέεσθαι ἀεικελίῳ τινὶ πότμῳ.
σταυρὸν δ᾽ οὖν μετιὼν οὐκ ὄρθιος ἤθελε πέτρος
σταυροῦσθαι, δοῦλον βοόων οὐκ ἄξιον εἶναι
σταυρῷ ἀνυψοῦσθαι, καθάπερ μέγας ὄρχαμος αὐτοῦ.
αἰδόμενος δ᾽ αἴτησε κάρη ποτὶ τ᾽ οὖδας ὁρᾶσθαι,
καὶ πόδας εἰς κορυφὴν νεύειν σταυροῖο παγέντος.
οἶδε γὰρ ἐκ χθαμαλοῦ τάχιον βροτὸν οὐρανὸν ἵκειν.
μιμεῖσθαι μὲν ἔγωγε διδάσκαλε, φησί, πόθησα,
ἀλλ᾽ οὐ τῷ σταυρῷ γ᾽ ὀρθοσταδὸν αἰωρεῖσθαι.
ὑψηλὸς σύ γ᾽ ἀεί, καὶ ἐπήορος, αὐτὰρ ἔγωγε
ἰδνωθεὶς προκάρηνος ἐπ᾽ οὔδει θνητὸς ἀλιτρὸς
κάμφθην ἑσπόμενος προπάτορι, ὅστις ἐστρέφθη
οὔδει ἀλιξαίνων θεοείκελον εἷο πρόσωπον.
καὶ τούτου πάντες γινώμενοι ἐκ μιμεῖσθαι
οἰκτρὸν πτῶμα δοκεῦμεν ἐπιχθόνιοι ταχύποτμοι
μητέρος ἡμετέρης ὑπὸ γούνασι πεπτηῶτες.
τοῖα δὲ παρειπὼν κεφαλὴν κορυφαῖος ἀμύμων
κλινάμενος νεάτῳ, πόδας ἀπήξαντι κεραίῳ,
εὐλογέωντε θεόν, καὶ συστὰς ἱερὰ μῆλα
χερσὶ θεοῦ ψυχὴν ἰφθίμην ἧκεν ἐς αἴθρην





*Sponte ignominiam se se angens perpeti acerbam,*
*In nemore Ariciæ viridi, barathrumq́ petiuit.*
*Hoc pacto interijt Simon vafer. At tulit aegre*
*Tale Nero Caesar factum, grauiterq́ gemiscens*
*Amisisse virum, quem tamquam lumina amabat,*
*Ansam quaerebat praecones perdere Christi.*
*Suffigiq́ Petrum tandem iubet in cruce sacra,*
*Regis ad exemplum, quem toto pectore amabat,*
*Praecidiq́ caput Pauli venerabilis unà.*
*Quippe nefas fuerat praeclarũ occũbere quẽquã,*
*Aut perimi ciuem Romanum morte inhonesta.*
*Ergo crucem Petrus subiens pendere recusat*
*Rectus, proclamans seruum minimè fore dignum,*
*Qui crucifigatur rectus Domini eius ad instar.*
*Id veritus spectare caput petit ipse deorsum,*
*Et crucis in summum uestigia vergere culmen.*
*Norat enim ex humili citius quemq́ alta subire.*
*Te sectari aueo Doctor bone, teque imitari,*
*Sed directus, ait, caueo tui ad instar obire.*
*Tu semper sublimis, & altus, verùm ego nequam*
*Huic mortalis humo curuatus semper inhæsi*
*Cernuus, ac pronus, patrem primũ vsque secutus.*
*Qui caeleste solum peccans os torsit ad imum.*
*Atq́ adeò tristem terrestria saecla videmur*
*Huncce sequi casum, quom nascimur, atq́ ruinam,*
*Labentes nostræ subter genua ægra parentis,*
*Talia praefatus capite ima Praesul inhærens*
*In trabe humum versus, pedibusq́ in uertice fixis,*
*Conlaudansq́ Deum, pecudesq́ ex corde sacratas*
*Olli commendans, sanctis submisit in æthram*

ἐκ μελέων ζαθέων μεθ' ὁμήγυριν οὐρανιώνων.
ἔπτατο δ' εἰς ἀγκὰς Χριστοῦ ζειφιλήτου ἀγοστοῖς,
τὸν ποθέεσκεν ἀεί, καὶ τὸν περὶ κῆρι φίλησεν.
οὕτω μὲν δίοποι γαίης ἐρικυδέες ἄμφω
φθαρτὸν ἀκηρασίοιο μετηλλάξαντ' αἰῶνα
ταὐτῷ τῷ πλειῶνι, καὶ ἤματι, ἠδὲ τυράννῳ.
τοὶ μὲν πότμον ἔφανθεν ἅμ' εἵμασι παμφανόωσιν
ἔνδοξοι χεῖρ' ἀλλήλω διὰ χειρὸς ἔχοντες
βριθόμενοι λαμπροῖς ἀναδήμασι δαιδαλέοισιν,
οἷα θριαμβεύσοντες ἀγοὶ νικηφόροι ἄστυ
εἰσελθεῖν ῥώμης πολιήοχοι, ἠδ' ἐπίουροι.
ἤτοι τώγ' ἄμφω πτόλιος ἔκτοθε πέφανται.
ταῦτα δ' ἀρειοπάγου βουληφόρος, ἠδὲ θεωρὸς
ἵστωρ μαρτυρέει, τάπερ ἔννεπον, οἷα παρεστὼς
εἷο καθηγητῆρι φιλαιτάτῳ αἰὲν ὁμαρτῶν.
ταῦτα δὲ πάντ' ἐγένοντο πόλει ἐπὶ κοιρανεούσῃ
ἐθνέων παντοίων, ἵν' ὅπου κράτος ἡγεμονῆες
δαρὸν ἐνυαλίοισι δορύκτυποι ἔργμασιν ἔσχον,
ἐνθάδε πάτραρχοι ἱερώτατοι εἰς τέλος εἶεν.
τοί κεν ἑὴν ῥώμην, πᾶσάν τε ῥυσαίατο χώρην
αἱρέσεων σκολιῶν, καὶ δυστυχιῶν πολυκηδέων.
ὔμμε δ' ἀεθλοφόρω μεγαλωνύμω, ἠδὲ νομῆε
τῶν ἱερῶν προβάτων, καὶ ἐπαύλιος ἠγαθέοιο,
χαίρετε σὺν μακάρεσσι διαμπερὲς ἀθανάτοισιν,
σύν τε θεῷ, καὶ μνῆστιν ἐμεῦ διὰ παντὸς ἔχοιτε
θησάμενοι ζωήν τε θεουδέα, ἠδὲ γαλήνην.



*E membris animam superum ad consortia læta.*
*Ter cari emicuit veneranda in brachia Christi,*
*Quem summè expetijt semper, summeq; cupiuit.*
*Sic Domini terrae rutilo splendore corusci*
*Hanc vitam fragilem mutarunt perpes in aeuū*
*Vno eodemq; anno, die eadem, vnoq; tyranno.*
*Qui mox purpureis sunt visi in vestibus ambo*
*Post obitum manibus iunctis, multisq; coronis*
*Ornati nitidis, varioq; anademate compti*
*More triumfantum victorum incedere in vrbem*
*Romam praesidium fidum, ac tutela futuri.*
*Quippe extra occisi sunt hi pomoeria Sancti,*
*Et quidem Areopagi censor probus, atq; senator*
*Adserit haec testis, qua dixi, nempe magistro*
*Qui comes adsiduus fuerat, sectator & acer.*
*Hæc autē in cunctis dominanti gentibus urbe*
*Facta fuere, Duces vt vbi tenuere profani*
*Armisonis regnum pugnis, belliq; tumultu,*
*Hic patriæ patres sacri dominentur in aeuum,*
*Qui Romam tueantur, & oppida subdita Romæ,*
*Et prauas sectas, atq; infortunia pellant.*
*At vos Signiferi pollentes nomine claro,*
*Custodes sacrarum ouium, caulæq; beatae,*
*Cum superis gaudete perenniter incorruptis,*
*Cumq; Deo, memoresq; mei estote benigni,*
*Atq; piam vitam mihi, & impetrate quietam.*

ἄλλος τις ὕμνος εἰς θεῖον παῦλον ταρσέα ἀπόστολον,
μέγαν χριστοῦ ἀθλητὴν, καὶ κόσμου φωστῆρα λαμπρόν.
νῦν δ' ἔχυυθε καὶ ἄλλο φίλοι μελιτερπὲς ἄεισμα,
παύλου ὃ κηρύσσει θεσπεσίας ἀρετάς.

στροφ. α΄. κωλ. ιε΄.

ΑΝάειθ μοι πότνια πίστις
ἀγαυοὶ
κάρτος ἄρρηκτον τεὸν δεῖξαν
δυνάσιν
τε πράγμασιν, ἀνορέαις τε
παῖδες ἅπασαν σέθεν.
καὶ γὰρ μένος ἀστυφέλικτον,
λῆμά τ' ἔκπαγλον τὸ τεὸν
ἰδίοις ἔνσταξας υἱοῖς
μᾶτερ ἀριστοτόκε.
τῶν πολέας στρατὸς εἶδεν
δουλοσύναν προφυγὼν
πόντον περάσας δι' ἐρυθρὸν
ἴχνεσιν αὐαλέοις
παρ' καλὰν ἄπειρον, ἃν
δῶκεν ὕψιστος θεὸς
εὐήρατον θάλλοισαν οἰκεῖν.

ἀντιστρ. κωλ. ιε΄.

πολὺ πλεῦνες δ' αὖτ' ἐγένοντο φανέντος
ἐν βροτοῖς σωτῆρος αἰώνων μεγάλου,
γόνου πατρὸς οὐρανίδαο,

τὸν



*Typographus ad Lectorem.*

Vt nequid, quod ad laudem huius Sanctissimi Apostoli pertineat, non intelligatur, hunc hymnum lyricum in latinum ad verbum vertendum curauimus, vt & hi qui græcè nesciunt, aliquod emolumentum, ac fructum inde percipiant.

*Strophe.*

*IN numeri ò venerāda fides illustres*
*filij tui*
*Tuam irruptam potentiam osten-*
*derunt, atq; virtutem*
*Factis, animisque,*
*O Regina.*
*Quippe robur inconcussum,*
*Admirandumq; sensum tuum*
*Proprijs instillasti natis,*
*Optimae prolis mater,*
*Quorum complures exercitus ille vidit,*
*Qui seruitutem euasit,*
*Perrexitq; per mare rubrum*
*Siccis vestigijs*
*In formosam continentem, quam*
*Dedit eis supremus Deus*
*Amoenam, florentemq; ad habitandum.*

*Antistrophe.*

*Multo plures uero postmodū nati sunt apparente*
*Inter mortales Saluatore sæculorum magno,*
*Filio cælestis patris,*

*Quem*

τὸν τέκε παρθένος ἀδ-
μὴς ἐν σολύμοισιν ἐναύλοις.
τῶν μὲν ἄλλοι μάρτυρες ἀ-
τρεκίας πιστοὶ κλέονται,
περθόμενοι μέλεα
ἀργαλέαις ἀμυχαῖσιν,
αἰθομένῳ τε πυρί.
ἄλλοι καλὰ μυρία τεῦξαν
πράξεσιν, ἠδὲ λόγοις.
πᾶσι δ᾽ οὐλύμπου δόμοι
χρύσεοι τηλαυγέσιν
ἐστεμμένοις ὅρμοις ἄεθλον.

ἐπωδ. κῶλ. ιδ΄.

ἐν δ᾽ ἀθλοφόροις μάλ᾽ ἀείζαλος φλέγει
τοῖς δ᾽, ἅθ᾽ ἑωσφόρος αἴθων,
ταρσέος παύλοιο μῆτις,
τόν ποκ᾽ ἔτικτε καλὸν
παῖδα μάτηρ κλεινοτάτα
παρὰ κύδνου χεύμασιν.
οὐδὲ γάρ πω παγκρατὲς τεὸν
τόσσον ἄμφανε σθένος ἄλ-
λος ἀνὴρ, οὐδ᾽ αὖ γυνά,
οὐ φυὰν θείαν τε, καὶ οὐρανίαν
τᾶς βαθυστέρνου χθονὸς ἐν γυάλοισιν
τόσσα τεκμαίρει χυθεὶς
ταῖς γ᾽ ἀρετᾶν κορυφαῖς,
ὡς θάλος σεμνὸν σέο παῦλος ἀμύμων,

στροφ. β΄. κῶλ. ιέ.

θεράπων χριστοῦ μέγας. ἀλλ᾽ ἃ μάκαιρα
ἐργμάτων καλῶν ἀγακλειτὰ ταμία,





*Quem peperit virgo nulli domita*
*In Solymorum mapalijs*
*Quorum quidem alij testes*
*Veritatis fideles celebrantur*
*Populati membra*
*Immanibus laniatibus,*
*Ardentiq; igne,*
*Alij innumerabilia honesta gesserunt*
*Factis atq; dictis.*
*Omnibus autem Olympi domicilia*
*Aurea longè fulgentibus his*
*Sunt præmium redimitis monilibus.*

*Epod.*

*Porro inter palmiferos hosce pugiles admodum in-*
*Ceu lucifer ardens, (signis fulget,*
*Tarsensis mens Pauli*
*Quem olim peperit formosum*
*Puerum mater præclarissima*
*Apud Cydni fluenta,*
*Neq; enim vmquam tuum præpotens*
*Robur tantopere declarauit alter*
*Vir, nec item mulier,*
*Nec indolem diuinam, atq; caelestem*
*Quispiā in telluris oris fusus lato sinu prædita,*
*Tantum indicat*
*Virtutum fastigijs,*
*Quantum tuū venerabile germē Paulus egregius,*

*Stroph.*

*Christi cultor magnus; sed tu ô beata*
*Honestorum operum auspex præclara*

θεοῖο προμνάστεις ἐραννά,
ἱεμένῳ κελαδεῖν
νῦν μοι κλέος οὐρανόμακες
τοῦδε παρστάης, λίτομαι.
πάλμα γὰρ σὺν τεᾷ θάλ-
λων φρεσὶν ἀγαθέοις
εἰς χάριν ἦλθεν ἄνακτος,
ὅστε φανεὶς κατ' ὁδὸν
αὐγὰς ἀπενόσφισεν ὄσσων
οἱ, ἵνα φέγγος ἴδοι
ἁδὺ θαυκτὸν θεοῦ
τοῦ πρὶν ἐκδύσας νέφους
ἀγνωσίας ψυχοφθόροιο.

ἀντιστρ. κῶλ. ιε.

ὅτε γὰρ χθονὸς μόλεν ἄθεα σωτὴρ
εὐρυκόλπου λύτρον ἀνθρώποις θανάτου
φέρων ἀκεσίμβροτον οἰκτροῖς,
δὴ τόκα θεῖος ἄναξ
ἐξείλετο ἱερὸν ὅμιλον,
τοὺς ποτιστάζων γλυκερὸν
ἐπέων νέκταρ δίδαξεν
θεσπεσίῳ στόματι,
πέμψε τ' ἐπ' ἄκριτα φῦλα,
ἀφθορίαν βιοτᾶς
καρυσσέμεν, ἀέναόν τε
κῦδος ἀνακτορίας.
τᾶς ἀλαθείας δ' ὁδὸν,
καὶ θεόκτιστον γέρας
οὔπω τόκ' ἔγνω παῦλος ἡβῶν.

ἐπῳδ.



*Dei pronuba amabilis.*
*Cupienti celebrare*
*Nunc mihi huius sublime decus,*
*Vt faueas precor,*
*Tua enim ope, consilioq́ florens*
*Sensibus diuinis*
*In gratiam peruenit Regis,*
*Qui ei apparens in via*
*Oculorum lumina ademit,*
*Vti lucem videret*
*Suauem, mirabilemq́ Dei*
*Emersus ex pristina nebula*
*Ignorantiæ, animis pernitiosa.*

*Antistr.*

*Quando enim ad terræ sinuosæ descendit habitacula Saluator*
*Redemptionē hominibus mortis*
*Ferens salutiferam miserandis,*
*Tum vero diuinus Rex*
*Delegit pulcrum coetum,*
*Quos instillando dulce*
*Verborum nectar docuit*
*Sacrato ore,*
*Delegauitq́ ad ignotas nationes,*
*Vt in corruptionem vitæ*
*Perennemq́ regni gloriam*
*Praedicarent.*
*At veritatis viam*
*Diuinitusq́ conditum munus*
*Nondum tum norat Paulus pubescens*

 *Epod.*

ἐπῳδ. κῶλ. ιδʹ.

ἀλλ᾽ ὡς ἂν ὄλυμπον ἔβα πατρὸς δόμον
μονογενὴς θεὸς υἱὸς
ἀγκομίζων σκᾶπτον ἀρχᾶς
ὠγύγιον σφετέρας
γένναν ἐκλύσας βροτέαν
ἀΐδα λυγρᾶν πυλᾶν,
πημάτων τ᾽ αἰνῶν ὀλέθρου,
τᾶμος αἰζηὸν ζαμενῆ
ὁμοκλᾷ ῥηξάνορι
ἀλαὸν πλάξας ἐκάλεσε κέαρ.
ἔνθα δ᾽ εἰς αὐλὰν κυανάντυγος αἰθέρος,
οἶκον ὄλβιστον θεοῦ,
τὸν ταχυπειθέ᾽ ἄγων
ἐκδιδάσκησεν θεολαμπέα δόξαν.

στροφ. γʹ. κῶλ. ιέ.

σοφίας μυστήρια τ᾽ ἔνθεα χρήσας
αὖθις εἰς οὖδας προέηκεν γηγενέων
βροτῶν πολυδαίδαλον ἕδραν,
ἄγγελον ὀρθὸν ἀλα-
θείας στιβαρώτατον ἕρκος,
οὐρανοῦ μύσταν ὕπατον,
χάριτος κάρυκα θείας,
χρύσεον ἄγγος ἁπάν-
τεσσι βεβυσμένον ἐσθλοῖς,
θεόσυτον ὠκὺ βέλος
φοινικορόδοισι τεθαλὸς
ἄνθεσιν ἁβρὸν ἔαρ,
ῥεῖθρον ἀμβλύζον πόμα
θεῖον ἀμψύχον κέαρ

θνατῶν



*Epod.*

*At postquã ad Olympũ conscendit Patris domũ*
*Vnigenitus Deus filius,*
*Vt caperet sceptrum proprij*
*Antiquum imperij,*
*Humano genere liberato*
*Ab Orci tristibus portis,*
*Et grauibus exitij cladibus,*
*Tum iuuenem ferocem*
*Increpatione valida audaciam frangente,*
*Corde cæcum percellens euocauit,*
*Atq; ad aulam cæruleo conuexo nitentis ætheris,*
*Domum beatissimam Dei,*
*Citò credentem ducens*
*Edocuit gloriam diuino fulgore micantem*

*Stroph.*

*Diuinisq; mysterijs sapientiæ oraculo traditis,*
*Rursum ad solum ipsum destinauit terrigenarũ*
*Hominum dædalam sedem.*
*Nuncium rectum veritatis,*
*Validissimum propugnaculum,*
*Cæli mystam summum,*
*Diuinæ præconem gratiæ,*
*Aureum vas cunctis*
*Refertum bonis.*
*A Deo vibratum velox telum.*
*Puniceis rosis vernans*
*Molle ver.*
*Fluentum manans potum*
*Diuinum recreans cor*

*Mor-*

θνατῶν, θεόφθογγον προφάταν.

ἀντιστρ. κῶλ. ιε΄.

χέλυ νῦν τόσον σ᾽ ἐθέλοιμι γλυκέαν
δια φωνάεσσαν, ὡς ἂν πᾶσι σάφα
λέγοιμεν ὅσ᾽ ἄνυσε καλὰ,
χ᾽ ὡπόσα λυγρὰ πάθεν
ψυχᾷ ταλασίφρονι μοχθέων,
ἔντε γᾷ, πόντου τε πλακὶ
πάλιν εἰς θνατοὺς προπεμφθεὶς
οὐρανόφοιτος ἀνήρ.
τοῦ δ᾽ ἐπέτειλεν ἀέθλους
ᾧ θεράποντι σοφῷ
ὑψίθρονος ὑψιμέδοντος
υἱὸς ἄνακτος ἄναξ
ὡς καταυγάζων νέον
ἀφθίτου ζωᾶς φάος
πότμου βίαν λύσαιτ᾽ ἀτειρῆ.

ἐπῳδ. κῶλ. ιδ΄.

ἤτοι ποθέων ὅγ᾽ ἐφετμὰς κραινέμεν
κράντορος ἀθανάτοιο,
φαινέμεν πάντεσσι λαοῖς
δῶρα θεοπρεπέα,
φάρμακον ζωαρκὲς ἀδευ-
κέος ἄτας ἄρξατο.
ἄμβροτον θάλλοισαν ἅβαν,
ἀπλέτου τ᾽ ὄλβον χάριτος.
τὰ πατὴρ πειθανίῳ
νεῦσεν ἐκ πρώτας γενεᾷ παλαχᾶς.
καλλιπεῖν δὲ φράζεν ἀγάλματα φροῦδα,
καὶ θεὸν ζῶντ᾽ ἀμφέπειν.

μυρία



*Mortalium, diuiniloquum doctorem.*

*Antistr.*

*Chely dia nunc tantum te velim fieri*
*Sonoram, vt omnibus clarè*
*Dicere possemus quæcumq́ gessit honesta,*
*Et quæ acerba pertulit*
*Animo tolerante laborans.*
*Inq́ terrae, & ponti plaga.*
*Rursus ad mortales emissus*
*Caeliuagus vir.*
*Haec illi mandauit certamina*
*Suo sapienti famulo*
*In superis regnantis celso throno nixus*
*Filius Regis Rex,*
*Vt illuminans nouum*
*Incorruptae vitae lumen*
*Violentiam mortis destrueret indomitam.*

*Epod.*

*Cum ergo cuperet hic mandata peragere*
*Regis immortalis,*
*Manifestare cunctis populis*
*Augusta Dei dona,*
*Orsus est, vitale remedium*
*Scilicet amaræ cladis,*
*Perpetuoq́ florentem iuuentam,*
*Et immensas diuitias gratiæ.*
*Quae Pater obedienti, atq́ morigerae*
*Annuit generationi à prima rerum origine.*
*Deserere autem iubebat futilia simulacra,*
*Et Deum viuentem colere.*

*Innu-*

μυρία δ' ἀγάθεος
ἔθνε' ἀγγέλλων τάδε νίσσετο κᾶρυξ.
στροφ. δ'. κωλ. ιέ.
τί δ' ἀναγεῖσθαι στόμα πάντα δυναῖτο,
ὅσα φῦλα κραιπνὸς ἀνθρώπων ἀθέων
μετῆλθε, καὶ ἄστεα λαῶν
θέσκελα δῶρα φέρων
εὐάγγελος ἱεροφάντας;
τίς δὲ κινδύνους ἐνέποι,
καμάτων τ' εὔαθλον ἱδρῶ;
πρῶτα Δάμασκε τεὸς
τοῦ στρατὸς ἀγάσατ' ὀμφὰν
θέσπιν, ἔπειτα πόλις
εὐδείελος ἀβραμιδάων.
οὐδὲ κίλισσαν ἕας
προσφιλῆ μαιεύτειαν
ταρσὸν ἄμειρε βοᾶς,
οὐδ' ἄστυ πειράνας ἀγαυόν.
ἀντίστρ. κωλ. ιέ.
τόκα δ' ἅζεσθαι θεὸν αἰὲν ἐόντα
τᾶς ἁλικλύστοιο κύπρου πεῖσε γόνους,
ἔπεισε δὲ τλαπολέμοιο
νᾶσον ὁμοῦ τρίπολιν.
ἐκ δ' ἄργεος αὐτὸς ἀναιδῆ
τεῦξεν ἀνστήσας δαναοῦ
πόλιος δύσφαμον ἥραν.
ἀρραβίας δὲ μολὼν
φέγγος ἀλαθὲς ἄνοιξεν
ἐνδαπίοισι βροτοῖς.
δυσπάρθενον ἐξ ἐφέσοιο





*Innumerasq́ admirandus*
*Denunciando talia peragrabat gentes praeco.*
*Stroph.*
*Quodnam vero os ennarrare queat omnes,*
*Quas pernix accesserit puincias impiorũ hominũ*
*Populorumq́ oppida, carentium Deo,*
*Diuina dona ferens,*
*Faustaq́ nuncia sacer interpres?*
*Quis itidem pericula explicet,*
*Laborumq́ honestorum sudorem?*
*Primum o Damasce tuus*
*Exercitus huius sacram vocem admiratus est,*
*Deinde sublimis,*
*Ciuitas Abramidarum,*
*Neq́ Cilissam Tarson*
*Altricem dilectam*
*Sua destituit voce,*
*Nec vrbem Pirenes illustrem.*
*Antistr.*
*Tum vero uenerari Deum semper uigentem*
*Mari perfusæ Cypri persuasit prolem,*
*Persuasit quoq́ Tlepolemi insulam,*
*Tribus vrbibus insignem.*
*Idemq́ ex Argo eiecit impudicam,*
*Ciuitate Danai, pristinis sedibus euertens,*
*Infamemq́ Iunonem.*
*Arrabiasq́ profectus*
*Patefecit verum lumen*
*Hominibus indigenis.*
*Improbam Virginem ex Epheso*

ἀγροτέραν ἔλασεν
σὺν βελέμνοις ἄρτεμιν.
καὶ κρόνου φαυσιμβρότῳ
ἐν κρησὶ παῖδ' ἀΐστωσεν αὐδᾷ,

ἐπῳδ. κῶλ. ιδʹ.

πατρὸς δὲ θεοῦ μερόπων ῥυτῆρ' ἁγνὸν
νάασε φερέσβιον υἱόν.
καὶ σύροις ξυνώσεν ἄλκαρ
λευγαλέοιο μόρου.
οὐδὲ μυσοὺς ἀγγελίας
λίπε φαιδρᾶς ἀμμόρους.
οὐδὲ τρῶας χαλκοχάρμας.
τουτάκις λυδῶν πόλιας
χρυσέῳ γλώσσας ξίφει
εἷλε, φοινίκων τε κλυτὰς ἀγορὰς.
τοῖς δ' ἅμ' ἑλλαίνων κατὰ κόμπον ἔλεγξεν,
τῶν τ' ἐρεχθῆος γόνων,
ἀλεμάτου σοφίας,
τοῖς φρόνιν δείξας παναλαθέα δῖαν.

στροφ. ε. κῶλ. ιε.

χάριτος θείας δ' ἔτι πολλαὶ ἔκυρσαν
εὐκλέες νᾶσοι πόνῳ φωτὸς ζαθέου.
ἐλαιόφυτος μιτυλάνα,
καὶ σάμος, ἡ δὲ τροφὸς
λύγδων πάρος, εὐκτιμένα τε
χαλκὶς, αἴγινά τ' ἀγλαὰ,
σαλαμὶς, δᾶλός θ' ἁλιπλήξ.
εἰς πύματόν τε θέναρ
μέσφα, καὶ ἄκρα γάδειρα
ἔντεσιν οὐρανίοις

λα-



*Venatricem depulit*
*Cum suis spiculis Dianam.*
*Tum Saturni filium apud Cretas*
*Homines collustrante voce euanidũ reddidit, & (aboleuit.*

*Epod.*

*Dei vero patris filiũ, mortaliũ liberatorẽ sanctum*
*Introduxit ad eos vitam ferentem.*
*Quin Syris communicauit*
*Amaræ mortis remedium.*
*Neq; Mysos nuncij læti*
*Reliquit expertes.*
*Nec Troas armis gaudentes.*
*Tunc etiam Lydorum vrbes*
*Aureo linguæ gladio*
*Cepit, Phoenicumq; claras cateruas,*
*Pariter etiã cũ his Græcorum fastum coarguit,*
*Atq; Erechthei filiorum,*
*Inanis sapientiæ,*
*Postquã scilicet eis ostendit veram prudentiam.*

*Stroph.*

*Diuinam gratiam præterea multæ adeptæ sunt*
*Nobiles insulæ labore huius diuini viri,*
*Oleis consita Mitylena,*
*Et Samus, atq; altrix*
*Marmorum Paros, beneq; culta*
*Euboea, Aeginaq; clara,*
*Salamis quoq;, & maris fluctibus uerberata Delos.*
*Ad extremam quoq; oram*
*Vsque, & vltimos Gades*
*Cum armis cælestibus*

HH 2 *Ad*

λατρείαν ἔσπειγετ' ἀμαυρῶν
δύσθεον, ἠδ' ἄθεμιν,
καὶ καταλλάξαις θεῷ
τῶν δὲ δήμων ἄστεα
ῥώμαν ἄνασσαν νίσσετ' αὖθις.

ἀντιστρ. κῶλ. ιέ.

βραχὺς ἀνθρώπων λόγος ἐντὶ διελθεῖν
ἔσσα ῥωμαίων ἕκατ' εὐρυσθενέων
πονήσατο καρτερὸς ἄκμων,
ὅσσά τ' ἄλαστα πάθεν
σωτήριον ὄλβον ὑφαίνων
καρτεραίχμαις ἁγεμόσιν,
ἀθετῶν εἴδωλα κοῦφα,
πᾶν τε σέβασμ' ἀσεβὲς,
τὸν βασιλῆα θέανδρον,
οὐρανιδᾶν πρύτανιν
χριστὸν μέγαν ὀλβιοδώταν
πᾶσι τορῶς κελαδέων.
ὅσθ' ὑπὲρ θνατῶν θανὼν
λοιγὸν ἄλαλκε βαρὺν
τοῦ πατρὸς υἱοὺς θεὶς κρατίστου

ἐπῳδ. κῶλ. ιδ'.

πιστοὺς μερόπων. τί δὲ τὸν λαοσσόον
πεῖρας ἀπόστολον ἄκρον
εἰς θεοῦ σταθμοὺς πόρευσεν,
οὐράνιόν τε γάνος,
ἀμπνοὰν μόχθων μαλερῶν,
στεφάνων τ' ἐξαίρετον
ἀντ' ἁμιλλᾶν καλλινίκων
κόσμον ἀνύσαι σὺν ἀτει-





*Ad cultum properauit abolendum*
*Impium, atq; nefandum,*
*Hisce demum Deo conciliatis*
*Populorum oppidis,*
*Ad Reginam Romam rursus tetendit,*

*Antistr.*

*Breuis est humanus sermo ea percurrere cuncta,*
*Quaecumq; praepotentum Romanorū causa*
*Laborando patrauit fortis incus.*
*Et quae molesta pertulit,*
*Dum salutares opes pararet*
*Bellipotentibus Ducibus,*
*Leuiaq; simulacra antiquaret,*
*Et omnem cultum impium.*
*Regem Deiuirum,*
*Caelitum praesidem,*
*Christum magnum beatitudinis datorem*
*Cunctis clarè praedicando,*
*Qui pro mortalibus moriens*
*Exitium graue propulit.*
*Optimiq; Patris fecit filios*

*Epod.*

*Fideles homines. Quis vero sospitalem populis*
*Finis Apostolum summum*
*Ad Dei mansiones transmisit,*
*Caelestemq; laetitiam,*
*Vt illustrium laborum respirationem,*
*Coronarumq; eximium,*
*Pro honestis decertationibus*
*Ornamentum caperet cum perenni*

ῥεῖ δόξας φέγγει.
Τουτάκις ῥώμας κρατερᾶς βασιλεὺς
ἦν ἀπηνής, φόνιος, αἰνός, ἀποφράς.
κεῖνος ὠμόφρων δράκων
λαιμοτόμῳ ξίφει
εὐαγὲς παύλου διέκερσε κάρηνον,

στροφ. κῶλ. ιέ.

καὶ ἀρίσταθλον θέτο μάρτυρα θείας
τὸν δ᾽ ἀληθείας τροπαιοῦχον θυγατρὸς
θεοῖο, μεγακλέϊ φωνᾷ
τὰν περ ἄεισεν ἀεί,
καί μιν σέβεν, ἠδὲ φίλασεν.
θέσφατον δ᾽ ἦν που τὸν ἀρι-
στέα κάρτιστον, πρόμον τε
φέρτατον αἰνεαδᾶν
χεῖν ἀρετᾶν τὰ βραβεῖα
ματροπόλει πολίων.
οὗ δὴ καὶ ἀνάκτορον ἱερὸν
τεῦξαν ἄνακτες ἄκρον.
τοῦ περ ἀὼς κάλλιον
οὐκ ἂν εὐφεγγὴς ἴδοι.
χρυσαόρος θ᾽ ἥρωος ὀστέα

ἀντίστρ. κῶλ. ιέ.

τὸ δ᾽ ἔχει, ψυχὰν λάχεν οὐρανὸς εὐρύς.
ἔνθα δὴ τᾶν αἰκιᾶν, πλαγᾶν καματώ-
δεων τ᾽ ἄκος εὗρες ἄμεμφες,
ταῖς ὑπὲρ οὐνόματος
χριστοῦ δεδαϊγμένος ἦσθα.
ἔνθα μὰν καὶ γυοπεδᾶν
στυφελᾶν, εἱρκτᾶν τ᾽ ἐρεμνᾶν,

θηρ·



*Gloriæ lumine.*
*Tum fortis Romæ erat Rex*
*Immitis, cruentus, grauis, execrabilis.*
*Ille crudelis Draco*
*Ense scindente guttur*
*Sacratum Pauli caput amputauit.*

*Stoph.*

*Et optimum posuit testem diuinæ*
*Hunc veritatis trophæis insignem, filiæ*
*Dei, præclara voce*
*Quam semper cecinit,*
*Eamq; coluit, atq; dilexit.*
*Statutum quippe erat apud Deum*
*Optimatem fortissimum, Ducemq;*
*Præstantissimum Æneadarum*
*Obtinere uirtutum praemia*
*In matre vrbium ciuitate.*
*Vbi etiam regale templum*
*Reges extruxere sacri.*
*Quo nullum pulcrius Aurora*
*Splendido lumine conspicua cernit.*
*Auratoq; ense insignis herois ossa*

*Antistr.*

*Hoc habet, animam sortitum est latum caelum,*
*Vbi scilicet verberum, plagarumq; laboriosarum*
*Medicinam inuenisti optimam,*
*Quibus pro nomine*
*Christi laniatus fuisti.*
*Vbi sane & compedum*
*Rigidarum, carcerumq; obscurorum,*

*Ango-*

θηρομάχων τ' ὀδυνᾶν,
εἰναλίων τε κλυδώνων,
τηλεπόρων τ' ἀτραπῶν
τέτμες μενοεικέ' ἀμοιβάν.
Τοῖα δ' ἀμηχανιᾶν
ἠδὲ λωβᾶν δυσχερῶν
κὰδ δὲ ἔτλας μυρία
τιμάορος χριστοῖο δόξας.

ἐπῳδ. κῶλ. ιδ'.

ἦ μὰν δι' ἔρωτα προσηνῆ δεσπότου,
καὶ σέβας ἱερότιμον,
εἰς ἀναύγητον μέλαθρον
ταρτάρου ἀργαλέου
βᾶμεν ἂν πρόφρων ἔθελες
ἀγαπάνορ λαγέτα.
πῦρ ὅπα θνατῶν πονηρῶν
ζαφλεγὲς δάπτει πραπίδας.
τὺ δ' ἔχαιρες μᾶλλον ἄ-
χεσι δεινοῖς, καὶ κακότατι βίου,
ἢ ἐ χλιδαῖς, ἁβροσύναις τε οἱ ἄλλοι.
ἦπερ οἱ νικαφόροι
χρυσοδέτοις στέφεσιν.
τόσσα δ' ἀπαστὸς πόθος ἔνδαεν ἦτορ.

στροφ. ή. κῶλ. ιέ.

σὲ θεὸς τοσοῖς δ' ἀπόροισι παλαίειν
κρῖνε παντάρχας, ὅπως γ' εὐανορία
φανῇ σέο πᾶσι βροτοῖσιν,
ὥστε δαῶσι κλέος
λαμπρὸν, στεφάνωμά τε νίκας
οὔτι κτήσεσθαι βλακίαις

τινὰ



*Angorumq́ cum feris depugnantium,*
*Marinarumq́ tempestatum,*
*Prolixarumq́ viarum,*
*Reperisti gratam remunerationem.*
*Talium enim angustiarum,*
*Aerumnarumq́ arduarum*
*Molestias tulisti innumeras*
*Christi gloriæ assertor & vindex.*

*Epod.*

*Quippe qui propter blandum domini amorem,*
*Sacrosanctamq́ relligionem*
*In lumine cassam domum*
*Duri tartari*
*Libenter ire velles*
*Generose populorum ductor*
*Vbi mortalium improborum ignis*
*Ardens præcordia deuorat.*
*Tu autem gaudebas potius*
*Doloribus grauibus, & afflictione vitæ,*
*Quàm delicijs, ac voluptatibus alij.*
*Quàm victores*
*Auro plexis corollis.*
*Tam suaue desiderium tuum accenderat cor.*

*Stroph.*

*Te Dèus omnium Princeps tantis cum difficultatibus conflictari*
*Decreuit, vt strenuitates tuas*
*Omnibus ostenderet mortalibus.*
*Vti sciant gloriam splendidam,*
*Coronamq́ victoriæ*
*Non vllum adepturum ignauia,*

I I Otioq.

τινὰ, ῥαστώναις τ᾽ ἀεργοῖς,
ἀλλὰ πόνοισιν κλυτᾶς
τλαμοσύνας ἀλεγεινοῖς.
οὐ προτροπαῖς δὲ μόνον,
οὐδ᾽ αὖ σ᾽ ὀάροισι παραινεῖν
ἔθνεσι τάσσε θεὸς,
ἀλλὰ τλαθύμῳ βίῳ,
καλλικάρποις τ᾽ ἔργμασιν,
σταθμὰν ἵν᾽ ἄλλοι ταύδ᾽ ἔχοιεν.

ἀντίστροφ. κῶλ. ιέ.

μάκαρ ὦ θείων προφᾶτα λιπαυγοῦς
χαῖρε φῶς κόσμου μέγα, μνᾳ στὴρ βιοτᾶς
βροτοῖσι χαμαιγενέεσσιν,
τὰν νόσος, οὐδὲ λυγρὸν
γῆρας καταλυέμεν οἶδεν.
πάντ᾽ ὀφείλει σωζομένων
χθαμαλὰν βόσκοντ᾽ ἄρουραν
φῦλα τὶν ἀμερίων.
πᾶσι γὰρ ἔφρασσας ἁμῖν
αἶπος ἐς οὐράνιον
ζωαρκέα οἶμον ἄγοισαν.
νῦν γε μὰν τόγε δρῶν
ἐν θέοισι γράμμασιν
οὔτι κάμνεις, κάλλιπες
ὡς νέκταρος νασμοὺς τῷ κόσμῳ.

ἐπῳδ. κῶλ. ιδ΄.

νῦν δὴ λίτομαί σε θεοῦ νοῦν πρευμενῆ
σαῖς θέμεν ἵλεον εὐχαῖς,
φέγγος εἰράνας τ᾽ ὀπάσσαι,
ἀσυχίαν τε φίλαν,

δυσπνό-



*Otioq́ inerti,*
*Sed laboribus inclytæ*
*Patientiæ anxijs.*
*Nec vero cohortationibus tantùm,*
*Nec item colloquijs ad commonendas*
*Gentes te destinauit Deus,*
*Sed toleranti vita,*
*Operibusq́ pulchro fructu refertis,*
*Vt cæteri hanc ipsam normam teneant.*

*Antistro.*

*O diuinarum rerum fœlix interpres luce carentis*
*Salue lumē mūdi magnū, qui in memoriā redigis (vitam*
*Mortalibus ex humo natis,*
*Quam nec morbus, nec tristis*
*Senectus labefactare nouit.*
*Vniuersæ tibi saluandorum,*
*Quæ imam terram depascuntur,*
*Debent nationes hominum.*
*Nobis siquidem omnibus ostendisti*
*Ad cælestem celsitudinem*
*Vitalem viam ducentem.*
*Nunc etiam hoc idem facere*
*Tuis diuinis litteris*
*Haud quaquam desinis, quas nobis*
*Tamquam nectaris latices reliquisti.*

*Epod.*

*Nunc vero obsecro te, vt Dei mitem mentem*
*Tuis precibus reddas propitiam,*
*Præbeat vt lumen pacis,*
*Placidamq́ quietem.*

*I I 2 Pro-*

δυσπνόοισιν γὰρ ῥοθίοις
κρυοέσσαις συμφορᾶς
δύσμοροι δὴν θεινόμεσθα.
εὐδίαν φαιδρὰν δύνασαι
μετὰ χειμῶν' ἄγριον,
χ' ἥντιν' ἂν βούλοιο χάριν κομίσαι.
πᾶν σθένεις ἔργον πίσυνος βασιλῆϊ
πανσθενεῖ Χριστῷ σέθεν.
πάντα γὰρ ἄνδρα τίει,
ὅς κε νιν τιμᾶν θεὸν ὄντα γέγαθεν.



*Procellosis enim fluctibus*
*Horrendæ calamitatis*
*Iamdiu miseri quatimur.*
*Lætam tranquillitatem*
*Post feram tempestatem,*
*Et quãcumq; aliam volueris gratiã cõferre potes.*
*Omne opus vales tuo fretus rege*
*Omnipotente Christo.*
*Is enim quemuis hominem honorat,*
*Quicũq; ipsum gaudet Deum existentẽ uenerari.*

TYPOGRAPHVS AD LECTOREM.

Hæc pauca carmina quæ sequuntur, & si non sint sacra, haud tamen indigna uisa sunt quæ edantur, cum ob eorum varietatem ac leporem, non ingrata fore lectori arbitremur.

# ΕΙΔΥΛΛΙΟΝ ΑΣΤΗΡ.

Ἡ ὑπόθεσις τοῦ παρόντος εἰδυλλίου περιέχει ἔπαινον, εἴτουν ἐγκώμιον ἀρχιμανδρίτου τινὸς ἐξαιρέτου ὀνομαζομένου ἀστέρος, Διὸ καὶ τὸ ποίημα τοῦτο ἀστὴρ ἐπιγράφεται οἱ δὲ διαλεγόμενοι ἀλλήλοις εἰσὶ δάφνις, καὶ σεβῖνος, προλογίζει δὲ σεβῖνος.

Δάφνις ὁ γενναῖος, καὶ ἐνὶ κναμοῖσι σεβῖνος
ὠρβίων γεγαὼς πολὺ δάφνιδι πιστὸς ἑταῖρος
ἡγυνομανῶν βοτὰ καλὰ κατ᾽ ὤρεα μακρὰ νόμευον.
ἄμφω τώγ᾽ ἤτην θαλερᾷ νεοθαλέες ἀκμᾷ.
ἄμφω συρίσδέν τε, καὶ εὖ δεδαῶτε μελίσδεν.
τὸν δαὲ μὲν κλειὼ μολπὰν μελίγαριν ἀείδειν
τόν δ᾽ ἐν ὄρεσσι δονεῖν γλαφυρὰν σύριγγα μέγας πάν.
πρᾶτος δ᾽ ὦν πρὸς ἑταῖρον ἰδὼν εἴπεσκε σεβῖνος.
τίπτ᾽ ἄμμες φίλε δάφνι καθήμεθον ἐνθάδ᾽ ἀεργώ,
δρυμὸς ὅπα χλοερὸς πολυδίψιον αἶθος ἀλάλκων
νῶϊν ἀελλοπόδων ἀρχῶ χρυσαυγέος ἵππων
εὖ διεροῖς πετάλοις ἐριθαλέα θῶκον ἔρεψεν;

ἐνθάδε

ἐνθάδε δ' αἰγείρων καλὰ δένδρεα αἰθέρι κύρει,
καὶ δρύες ὑψίκομοι, καὶ δαφνέων εὐθαλὲς ἄλσος.
ἐνθάδε καλλινάω κρήνας ἀλέκτεινον ὕδωρ
ἐξ ἄντρου μνιαροῖο κατειβόμενον κελαρύσδει;
ἄνθεα ναϊάδων τ' ἄρδει κατὰ δάσκιον ὕλαν,
τῷ πάρα θυμαρὲς ποτὶ τ' ὤνδιον ἐψιάασθαι.
ἆρά γε λῇς ἁμᾶς τὸν προτεύοντα νομήων,
ἁμόνθ' αἰγιπῆρα, λοχμᾶν ἄγραυλον ἐπόπταν,
ἀδυβόαις δονάκεσι κρεφόνυχα πᾶνα γεραίρειν;
Δάφ. τόν γε μὲν ἐξαῦτις προσαμείβετο δάφνις ὁ βώτας,
οὐ τῆνον ταὶ δηῶ, ἐπεὶ πολὺ λώϊον ἐντὶ
μουσάων ἱεραῖς σεμνὸν δόμεν ἄνθεα πνοιαῖσι,
πᾶνα πρὸς αἰγιβόταν ὃς πρώαν ἆσεν ἐρίσδων
ἆθλον ἀοιδάων θέμενος σύριγγα λιγεῖαν,
οὐδὲ θεὸς νίκασεν, ἐπεὶ θεῶ ἔτι χερήων,
τοὔνομα δ' ἦν ἀσὴρ πεφιλαμένος ἀθανάτοισιν,
Σεβ. κἠγὼ τᾶν μωσᾶν καπυρὸν στόμα ποιμένα τῆνον
ἥδεα συρικτὰν μέγ' ὑπείροχον ἠδὲ μελικτάν,
μαλονόμοις πολύθυστον, ἀκαδέσι τ' ἀονίδεσσιν,
ἀλλ' ἄγε ὡς τὺ θέλεις, καίτοι πλέον εὔαδε θυμῷ,
ἁδέα φθεγγομένω μελέων κρηπῖδα βάλωμες
ποιμενικῶν, μολπᾶς τε συνάμονες ἀγλαοφώνω
ἐνθάδ' ὑπαὶ σκιεραῖς ὀροδαμνίσιν ἀρχώμεσθα: (δαφ.
πρᾶτος δ' ὦν τὺ καλαῖ φίλος ἀμβάλευ, ἃ θέμις, ὤ-
ὡς φάτο συνθέμενος, τὸ χ' ὁ βώτας ἄρξατο δάφνις.
Δάφ. μῶσαι μναμοσύνας λιπαράμπυκος ἀγλαὰ τέκνα
ἀστέρα τὸν χαρίεντα πλέον φαέων ἀγαπῶντι.
τόν ποκα κωρίζοντα μετ' ἀγκαλίδεσσι φέροισαι
μαιώσαντο μυχοῖς ἱεροῖς ἔνι παῖδα νεογνόν,
ἐν δ' οἱ στάξασαι μελιαδέα χείλεσιν ἁβροῖς
πίδακα



πίδακ' ἀγαφθέγκτων ἐπέων ἐκέλοντο γεγωνεῖν
πρῶτα μὲν οὐρανιδᾶν ἀρχὸν μέγαν, ἠδὲ καὶ ἀνδρῶν,
αἰπεινάν σοφίαν τε, καὶ αἰθέρος ὄλβον ἀπειρῆ,
σφᾶς δ' αὐτὰς μετέπειτα, καὶ ἄνθεα κύδν', ἀρετάς τε
ἐν δυνέως μερόπεσσιν, ὅσοις πιπιδέρκεται ἀώς,
εἴτε διδασκῆσαι πολέων ἀποφώλιον ἦτορ.
τὸν δὲ κροτεῖν φόρμιγγα χεροῖν δάε ποικιλόγαρυν
οὔ τι λατοΐδας ξανθὸς παῖς, ἀλλὰ προφάτας
θέσκελος ἀβραμιδᾶν γόνος ἔνθεος ἔνθεα φωνέων,
ὃς θεὸν αὐτομέδοντα βροτοῖς κελάδησεν ἅπασιν,
καὶ κλέος ἀθανάτων μακάρων ζαθέοισιν ἐν ὕμνοις.
φορμικτὰς γὰρ ἔην κλεινός, θέασίς θ' ὑποφάτας.
ταῦτα δ' ὦν καταθέλγει ὅτῳ περὶ κῆλα πέσοιεν,
ἀνθρώπως, καὶ λᾶας, ἀοίδιμος ὡς πάρος ὀρφεύς.
τόσον δ' ἀδυθρόῳ φθογγᾷ σύριγγος ἰαίνει
εἰροπόκων τ' οἴων ἀγέλας, καὶ πῶεα μάλων,
ὥς ἰδίως ποθέειν ποιμάντορας ἐκπρολιπόντα
ἐκ ποδὸς αὐτοῦ ἕπεσθαι ἀεί, καὶ μετ' ἴχνια βαίνειν
τοῖο βοᾷ θελχθέντα φιλοφροσύνᾳ τε προσανεῖ.
μείλιχα δ' αὖθ' ἑτάροισι φίλοις ποτὶ πᾶσιν ὁμιλέων
ξατὰ βοαγενέων παραμείβεται ἔργα μελισσᾶν.
τοῖα δ' ὁ κυνναῖος ποιμὰν φώνασε μελιχρός.
τοῖα δ' αὖτε σεβῖνος ὁ μορεθέων ἀπαμείφθη
ταὶ ξανθαὶ χάριτες λιπαρᾶς σκοποὶ ὀρχομενίοιο
ἀστέρα τίμασαν πάντων περιώσιον ἄλλων.
δὴ γὰρ ἀείζαλόν νιν ἐν ἀνθρώποισιν ἔθηκαν
σφωϊτέροις γεράεσσι, φαεσφόρον οἷάπερ ἄλλον
ἐρχομένας αἴγλαντα διάκτορον ἠριγενείας,
ὅς ζόφον ἀντέλλων αὐγαῖς χαροποῖο προσώπω
ἔννυχον ἐξελάει ὑπὸ νέρτερα γᾶς ἐρεβεννᾶς,
KK καί τε

καί τε περιστίλβει μεγάλαν κόσμοιο ἀλωάν.
δὴ γὰρ ὅγ' εἰδάλιμόν τε φυὰν, σεμνάν τε πρόσοψιν
ἔλλαχεν ἐκ γενεᾶς εὐκόσμος, εἴνυτις ἄλλος.
οὐ μορφὰ δ' ἀπέοικε σοφᾶς φρενὸς, ἀλλ' ἔτι μᾶλλον
μορφάεις πραπίδεσσι κεκασμένος ἔπλετ' ἀμώμοις,
καὶ πινυταῖσι φραδαῖς, ἑκατονταετὴς ἅτε πρέσβυς
ἀμφιέπει βουλαῖσι πεπνυμένον ἦτορ ἀμεμφὲς,
καί τε νέοσπερ ἐὼν μάλα μήδεται ἄρτια πάντα.
ὡς καλὰ γοῦν φαιδρὸν τὸν δὴ ποτέοικε καλεῖσθαι
ἀστέρ', ἐπεὶ τόσσοις ἀμαρύγμασιν ἐντὶ περίφαντος
σκανέος εὐμόρφου, καὶ ψυχᾶς μᾶλλον ἐρανᾶς.
ὡς ὅτε που δένδρον βρίθει θύει ἄνθεϊ λευκῷ,
καὶ καρπῷ κεφκόεντι διαμπερὲς εἴαρος ὥρᾳ.
ἢ ῥοιᾶς ἔρνος πετάλοις, μάλοις τε πυκασθὲν,
ἢ οἴνα βοτρύεσσι, καὶ οἰναρέοισι βρύοισα.
τὼς ὅγ' ἑοῖς ἀγανοῖς θαλέει δωρήμασιν ἀνὴρ
ὄλβιος ἀενάοις κεχαρισμένος οὐρανίδαισιν.
ὥς εἰ μὴ πατρόθεν τοῦτ' οὔνομα κτήσατο καλὸν
ἐκ παλαιᾶς, αὐτός νιν ἑαῖς χαρίτεσσί κεν εὗρεν,
ταῖς τρόπον ἀγλαέντος ἑωσφόρου εἰλυφάσδει.
τόσσα μὲν ἀδυμελεῖς ἀστὴρ θεόμοιρε λίγαινον
ἀμφὶ σέθεν παῖδες. μέλλον δ' ἔτι πλεῦνα καὶ ἄλλα·
μυρία δ' εὐανθὴς κῆπος τεὸς οἶδεν ἀέξειν.
αὐτὰρ ἀειδόντεσσιν ἐπήλυθεν ὥριος ἐσλὸς,
ἀμφοτέροισι φίλος, καὶ τὴν δ' ἀνέκοψεν ἀοιδάν.
καιρὸς ἔφα κώρῳ πόσιος μενοεικέος ἦλθεν.

Εἰς



Εἰς μάρκον ἀντώνιον ἀντίμαχον ποιητὴν ἔνδοξον.

Ἤθελον ἢ νεφέεσσι τανύπτερος ἔμμεν ἀερθεὶς
ἀρχὸς ἐν οἰωνοῖς αἰετὸς ὠκυπέτης.
ἠὲ κατὰ σκιεροὺς δρυμοὺς λιγύφωνος ἀηδὼν
οἷτον ὀδυρομένη ποικιλόγηρυν ἐόν.
εὖτ' ἐρατὸν λάμπει χρυσόθρονος εἴαρος ὥρῃ
ἐξαναδῦσ' ἠὼς ἐξ ἁλὸς ἀτρυγέτου.
ἄνθεα δ' ἀγρόνομοι δρέψασαι ποικίλα νύμφαι
κρᾶτα πυκάζουσι καλλιέθειραν ἑήν.
τοῦτο μὲν ὥσκέσ' ἴδοιμι θαμὰ προφερέστατε ἥρως,
τόν ποτ' ἀθηναίη θρέψε διὸς θυγάτηρ.
χ' ὥσκε περιπτύξαιμι φαάντατον εὖχος ἐμεῖο
πρὸς σὲ τάχα πτερόεις ἔνθεν ἀποπτάμενος.
δὴ γὰρ μνωόμενον σέοθ' ὡς τέκος, ἠδὲ μαθητὴν,
τὴν πρὶν συνηθεσιῶν μ' ἵμερος εἷλε γλυκὺς,
καὶ σέο φραδμοσύνης ἐρικυδέος, ἧς ἔτ' ἐπαυρεῖν
ἱμείροντ' ἄπορός μ' ἔχεν ἀμηχανίη.
νῦν δ' ὑποκάρδιον ἕλκος ἀπόπροθι οἰκία ναίων
σεῖο φέρω χαλεπῶς ἐν φρεσὶ τηκόμενος.
τοῦτο δ' ὅπως γοερὸν μέλος ἐν κνημοῖσιν ἄδοιμι
ὄρνις ἀοιδὸς ἐὼν, ἄλκαρ ἐμῶν ἀχέων
ἡδυμελὴς τόδ' ἄκος πάρος ὀρφεὺς εὗρεν ἀνίης
θρηνήσας στυγερὴν κήδεα φίλης ἀλόχου.
καὶ μέγα δεῖγμα πόρεν φιλότητος τοῖς μετὰ κεῖνον
βὰς πολυκωκύτους εἰς ἀΐδαο δόμους.
ἀχαλόωντι γὰρ ἀνδρὶ μελίφρον ἔπλετ' ἀοιδὴ
πάρφασις ἔκλησιν μηδομένη παθέων.


κήδεα

κήδεα μειλίσσει, καὶ δυσφροσύνας ἀλεγεινὰς
πᾶν κακὸν ἀμφαδέων σβεννυμένη κραδιῶν.
Τοίνυν μὲν ἱμερτοῖο δενῶ μεγαδήματα πατρὸς
ἀχνύμενος θυμὸν νῦν μάλα τῆλε πέλων.
ἀλλὰ σύγ' ἦλε πάτερ πολυφίλτατε, καὶ μέγα χαῖρε,
πάντα δ' ὅσ' ἱμείρεις σοὶ τελέσει θεός.

## ΑΝΤΙΜΑΧΟΥ.

Εἰς πρόσπερον βειξιέα νεανίαν φιλομαθῆ τὸν τοῦ ἁγίου εὐλογητοῦ μοναχόν.

Σὴν πάρος εὐφυΐην μὲν ἐπῄνεον ὦ τριπόθητε,
ἀλλὰ λίαν πινυτὴν νῦν ἄγαμ' εὐεπίην,
σήν τε διδασκαλίην, λάχες ἣν, τά τε λαμπρὰ θεάων
δῶρ' ἑλικωνιάδων, ἅττα σὺ πέμψας ἐμοί.
εἰσὶ γὰρ οὐ νεότητος, ἀτὰρ πολιᾶς γε φρείσης,
κάλλεος ὄντα σαφῶς, ἔμπλεά τ' ἀγλαΐης.
Τοῦ χάριν εὐφράνθην σε βλέψας κάρτα προκόψαι,
τῆλε πάνυ νῦν σοῦ καίπερ ἐόντος ἐμοῦ.
ἔσσεθ' ὅπερ γέρατος σοί γ' αἴτιον οὐ τυχόντος,
σπουδαίων καμάτοις ὡς πρέπον ἠϊθέων.
ἔσπεο γοῦν ἀρετῇ πονέων, μὴ φείδεο μόχθου.
τεύξῃ λαμπροτάτης τῆσδε γὰρ εὐκλείης.
τῇ δὲ τεοῖς ῥέξεις καταθύμιον ἔργον ἑταίροις,
κυδεῖ σ' ἔνδοξον ῥίμφα ποθοῦσιν ὁρᾶν.
τοῖς εἰ κ' αὐτὸς ἐγὼν οὐκ ἔσχατος εἰμ' ὑπ' ἔρωτος,
πρὸς σέθ' ὑπερβολικῆς εἵνεκεν εὐνοΐης.
εἰσὶ φίλοις ξείνων καταθύμια σύμφορα πάντα
τοῖς ἑτέροις μὲν ἄγαν, καὶ χαρίεντα πάνυ.

ἅττα



ἅττα γέρας τε φέρει σὺν χρήματι τοῖσδε ποιοῦσιν
ἀσπασίως ἀρετῆς εἵνεκα καὶ σοφίης.
εἰμὲν ἀγαλλόμενος γοῦν σοῦ χάριν ὦ τέκος εἰμὶ
νῦν μάλα, θαυμάζειν οὐ συνετοῖσι δέον,
εὖτε φιλοστόργως σ' ἀσπάζομαι, ὡς ἐμὸν ἦα.
τηλυγέτην διὰ σὴν πρόσπερε σωφροσύνην.
δέσμιον ἦμε λίαν θῆκεν σοί γ' εὔφρονι πάμπαν
θυμοῦ, σὺν διδαχῇ σῇ τ' ἀγανοφροσύνῃ.

Τίτος πρόσπερος ὁ μαρτινέγγιος ἀδάμῳ τῷ φουμανῷ ἀνδρὶ λογιωτάτῳ

Οὐδὲν τόσον ἐμοῦ κεχαρισμένον ἔπλετο θυμοῦ,
ὅσσον ἰοπλοκάμων δῶρ' ἑλικωνιάδων
ταῦτα θάμ' ἀχνύμενόν μ' ἐρρύσαντο δυσφροσυνάων
ἀργαλέων, σκυθρὸν τ' εὔφρονα θῆκε πάλιν.
Τοὔνεκα τοῖς δ' ἴσθην σε κεκασμένον ἄνδρα νοήσας
φέρτατ', ἀμοιβαίων ὄφρα τύχω χαρίτων.
ἀγνώσσοντι δ' ἐμοί γε καλὸς βενέδικτος ἔειπεν
τοῦτο διονύσιος πουλὺ σ' ἀγαζόμενος.
ἀλλ' ἄγε δὴ πρόφρων θελκτήρια τοιάδε πέμψον
πολλάκις ἡμετέρῃ γ' ἦρα φέρων κραδίῃ.
οὕτω δὴ μελέεσσιν ἐσύστερον ἄλλοθεν ἄλλος
τερψόμεθον λιγυροῖς νοῦν ἀπαμειβόμενοι

Τίτῳ προσπέρῳ τῷ μαρτινεγγίῳ
Ἀδαμος ὁ καπνίτης.

Ἑλλαδικᾶς λαμπρὸν κιθάρας ἐρικυδέος εὖχος,
τᾶς δὲ κλυτᾶς βλοσυρὸν θάμβος ἐὼν γλυκερᾶς.

ὦ στόμα

ᾧ στόμα καλλιόπα μεγάλως μελίκομπον ἔδωκεν,
ἑρμείων πινυτὸν καὶ χαρίεντα νόον.
ἐψεύσθης παρ' ἐμεῖο τεαῖς μνησθύμενος ᾠδαῖς
ἀγλαὰ πιερίδων δῶρα ῥοδοπλοκάμων.
οὔτοι τοῖος ἐγών, οἷον βενέδικτος ἔφασεν,
τέρψαι ἀμοιβαίοις ὥστε σ' ἐμοῖς μέλεσιν.
νημερτὴς μὲν ἀνὴρ ὅδε τοι πέλει, ἀλλὰ πολύ σμιν
εἰς ἐμὲ νηξεινέως νῦν ἀλάωσεν ἔρως,
παντ' ἄχαρις, πανάμουσος ἐγών, πάντων πανέρημος,
ὅσσα δύναιτο τεῇ ἦρα φέρειν κραδίῃ.
ἀλλ' ἄγε τὺ ξυφερὸν μουσῶν θάλος αὖ δύνασ', ἄμμιν
πέμπε χάριν χαρίτων πάμπαν ἄελπις ἐμεῦ.

Ἀδάμῳ τῷ φουμανῷ ἀνδρὶ λογιωτάτῳ.

Ἀξεινέως νῦν οἶδ' ὅτι μοι νημερτὴς ἔειπεν
ὅς σ' ἐπέων εἶναι τέκτον' ἄριστον ἔφη
τοῖς προτέροισιν ἴσον, τοὺς ἔξοχα φίλατο μοῦσα
θεσπεσίης σοφίης ἴστορας, ἠδυεπεῖς.
οὐθὲν γάρ ποτ' ὄπωπα μέλος χαριέστερον ἄλλο,
οὐδέ τι τερπνότερον τοῦπερ ἔπεμψας ἐμοί.
οὐδ' αὖ νῦν οἴω σέο φέρτερον ἄλλον ἔγωγε
ἔμμεναι εὐφώνων πιερίδων πρόπολον:
τῷ μάλα δὴ χαίρω πηγὴν μελιηδέα μολπῶν
ἀμβροσίων εὑρὼν φῶς φιλόμολπος ἐών.

Τίτῳ προσπέρῳ τῷ μερπινεγγίῳ.

Κυδαλίμων τίτε βριξιέων λιγυρώτατε κύκνε,
ὅς τις ἄγεις μέσσην ἑλλάδ' ἐς ἰταλίην.
ὄλβιος,



ὄλβιος, ὃς μοίρης θεοπεμπτέος ἔλλαχες, ἤσοι
ἔξοχα τὴν δὲ πόρεν τὴν χαρίεσσαν ὄπα,
ὄλβιος, ὃς κλεινὰ προτερήματα πόλλ' ἀποειπὼν
μούσαις καὶ μούνῃ τέρπεαι εὐσεβίῃ.
σπεῦδε πρόσω, μεγάλας δ' ἀρετὰς λάβε ἄμφ' ἅμα
τῆς θείας πάντῃ δρεπτόμενος σοφίης. (πάσας
τὴν δ' ὁδὸν ὥς ποτε τοὶ μεγάλοι τέμνοντες ἔνεικαν
δόξαν ἐνὶ ζωοῖς ἄνδρες ἀειθαλέα,
καὶ μογεροῦ τοῦ τῇδε βίου ποτὶ τέρμα μολόντες
ἀστέρες ὡς φρουδοῖς λάμψαν ἐνὶ φθιμένοις.
ταῖς δὲ φιλῶν μ' ᾠδαῖς μή μ' αἴνεε, φαῖνε δὲ μᾶλλον
ἥν τι ἐμαῖς ἔπος ἢ στρεβλὸς ἔνεστι νόος.

Ἀδάμῳ τῷ φουμανῷ ἀνδρὶ λογιωτάτῳ.

Ἀπακτὶς χαρίεσσα καὶ ἀλιγύφωνος ἀοιδά,
τάν τοι μέγας πόρεν θεός,
ἐξότε σ' ἐκ κόλπων μάτηρ σέο πότνι' ἀνῆκεν
αὖς ἐς ἀγλαὸν φάος,
θῆκέ σε θαυμαστὸν, καὶ ἀοίδιμον ἀνθρώποισιν,
οἷόν ποθ' ἁδὺν φάμιον,
τόν ῥα θεοῖς αὐδὰν ἐναλίγκιον εἶπε γλυκέος
ᾠδοῦ μέλισμ' ἰάονος.
καὶ μὰν καὶ τέρψαι θνατῶν φρένα πολλὰ δαέντα
αὐτὸν λίαν θελκτήρια.
ἁδ' ἀγανοφροσύνᾳ χθαμαλόφρονα μῆτιν ἔχοισα,
σὺν μειλίχῳ τινὶ τρόπῳ,
ἃ θνατὸν τὸν ἔχοντα πρὸς οὐρανοῦ αἰγλάεντος
δόμους ἀείρει χρυσέους,
ἱμερτόν σε τιθεῖ, καὶ ἐπήρατον οἷσιν ὁμιλεῖς,
ἀδάμ'

ἄδαμ' ἑταῖρον φίλτατε.
οὐδὲν γὰρ τόσον καταθύμιον ἡμερίοισιν,
ὡς ἦθος ἀνδρὸς ἤπιον.
οὐδὲ μὲν οὐδ' ἀγανοῖς θυμηρέστερον ἄλλο θεοῖσι
πλέον φυᾶς τᾶς εὐμενοῦς.
ταῦτα δὲ πάντα σαφῶς τιμαλφέα δῶρα νοήσας
τὸν οἶκον ἀμφέπειν τεόν,
θηεῦμαί σε μάλιστα, καὶ αἰδέομαι περὶ κῆρι
τοιοῦτον ὄντα, καὶ φιλῶ,
οἷα πάρος φιλέεσκε ποδώκεα πηλείωνα
μενοιτίου φίλον τέκος.
ὅσα δέ μοι μελέεσι σοφοῖς ὑπεθήκαο καλὰ,
πειρήσομαι τάχ' ἐκτελεῖν.
ὡς δὴ καὶ τάδε πάντα φίλα φρονέων ἀγορεύεις
λίαν ἐὼν πεπνυμένος.

Τίτῳ προσπέρῳ βριξιεῖ ἄδαμος ὁ φουμανός.

Ἀρχαίας γλαφυρὸν σοφίας παλιθηλέος ἄνθος
ἑταῖρ' ἄριστε πρόσπερε,
ἤτοι ὑπὲρ τὸ δέον μάλ' ἔγ' ἂν θρασυκάρδιος εἴην,
φυσῶν λίαν θ' ὑπέρμετρα,
εἴκεν ἐμοῖς μελέεσι κενόφρεσιν ἶσα φέρεσθαι
ἀνδρῶν γένει τῷ πανσόφων
πειθοίμαν, τί γὰρ ἂν γηρῦς κελάρυζα κορώνη
κρέκειν δύναιτ' ἀντάξιον
κούρῃ πανδαρέου πρὸς νήδυμον ἀγλαόφωνον;
ἢ καὶ τί κύκνοις ὀλολυγὼν
μολπᾶς γαυριόωσα πέρι πρὸς νεῖκος ἐρίζῃ
πάμπαν γ' ἐοῦσα δύσθροος;

τῷ σ'



τῷ νῦν οὔ μ' ὑπέρογκ' αἰνῶν ταχυπειθέα μ' ἕξεις
καλῶς γ' ἐμαυτὸν εἰδότα,
οὐ γὰρ ἐμὰ ποιεῖ χθαμαλόφρονά με ψαφαρὰ φρὴν
φρονεῦνθ' ἃ καὶ δεῖ με φρονεῖν.
ὔμμες δ' οἱ στήθεσι νόον περὶ πυκνὸν ἔχοντες
σφόδρ' ἄνδρες ὄντες κύδιμοι,
μουσάων ἅτε δὴ σκοπιᾶς κεκρατηκότες ἄκρας,
μέγ' ἂν φρονοῖτε σὺν δίκα.
ὅσα δέ τοι πρόφρων θυμός μ' ἐφέηκε πιφαύσκειν,
οὐχ' ὡς σέθεν σοφώτερος,
παρ' σ' ἐφάμην, ἀλλ' ὡς ταχινῶς τροχάοντι καὶ αὐτῷ
φίλῳ φίλα φρονῶν δρομεῖ,
ἐκ θυμῶ γήθων περιώσιά σ' ἔργον ἔχοντα
τεᾶς φυᾶς τᾶσδ' ἄξιον,
ἄνδρ' ἀρετὴν πινυτὸν πολυχανδέα παντοδαπάων,
εἴπου τις ἄλλος σήμερον.
ἄνδρα τόσον μώσαις πεφιλαμένον, ἄνδρα χάρισι
πολλαῖς βρύοντα πάντοθεν.

Τίτος πρόσπερος ἀδάμῳ φουμανῷ τῷ
φιλτάτῳ ἀνακρεόντειον.

Στόμα πινδάρου τὸ θεῖον,
ὅτι μέτρον εἶν ἑκάστῳ
ἕπεται νοεῖν ἄριστον
φάτο καιρὸν ἀνδρὶ θνητῷ.
ἵνα μὴ δοκῶ δὲ λάβρος
θαμὰ κῆλα ταῦτ' ἀφιεὶς
προπετὴς ἀγῶνος ἔξω
κεφαλὴν φίλην ἀνιῶν,

LL μελέ-

μελέτην ἄθυρμα πέμπειν
ἀπὸ λοιπὸν ἄλλο θήσω,
τὸ μέζον φρεσὶ διώκων.
τί δὲ ταῦτ' ἄμουσα πέμψω
ποτὶ τὸν ποτηνὸν ὄντα
ἀπὸ τῆς φίλης τεκούσης
ἐνὶ ταῖς κλυταῖσι μούσαις;
σάφα μαρτυρεῖ σ' ἀοιδὸν
ἔμμεναι φυῇ κράτιστον
τάπερ εἰς ἐμὴν ἄεισας
στόματι χάριν μελιχρὰν
ὑπὲρ ἀξίαν μ' ἐπαινῶν
μελίκομπον ὄσσαν ἱείς,
ἅτε τις κύκνος καΰστρου
παρὰ ταῖς ῥοαῖς λιγαίνων
ζεφύρου πτεροῖς ἀέντος.
τόγε γοῦν ἐμοὶ λέλειπται
ἐσιδεῖν τεὸν πρόσωπον
ἐρατὸν σοφοῖς ἅπασιν.
τό μοι ἄφθιτος παράσχοι
θεός. εὔχομαι γὰρ αἰνῶς.
σέο δ' εἰς πλάκας θαλάσσης
ἵνα μὴ φέρειν με φαίης
δόμεναι καλὴν αἴγλην
ἀνέμων θοαῖς ἀέλλαις,
ἐπὶ ταῖς ταφαῖς ἰησοῦ
ὑπάτου πατρὸς γόνοιο
τὸ μελύδριον πόνησα,
ὅ,τι σοὶ ξένων ἰάλλω
δεδιὼς σοφοῖο φωτὸς
βασα-



βάσανον μάλιστ' ἀκριβῆ,
δυνάσιν δ' ἔχων ἀρείω
ἔτι κάλλιόν τι δώσω

ἀσκανίῳ μαρτινεγγίῳ τῷ κόμητι
μεγαλοπρεπεῖ εἶδος.
στροφ. ά. κώλ. ί.

Εἴτις βροτῶν μίαν τινὰ
ψυχᾶς πέπαται δαιμονίαν ἀρετᾶν,
οἷα σαοφροσύναν,
καίπερ σθένει πλούτου μεγάλῳ θαλέων,
ὕβριν αἰανῆ συγέ-
ει κόρου εὐθυπορῶν ὁδὸν ἐχθράν.
ἠὲ καὶ βουλαῖς ἔφυ
πρέσβυς, ἀφνειός τε φρένας πυκινάς,
ἢ σέβειν οἶδεν μέγαν
ἄνακτ' ὀλύμπου εὐσεβής.
ἀντίστροφ. κώλ. ί.
ὑμνητὸς οὗτος γίνεται,
καὶ πᾶσι θαητὸς πινυτοῖσιν ἀνήρ.
θέσκελα δ' ἀθανάτου
οἰχνεῦσι τιμᾶντα βροτέᾳ γλυκερᾷ
δεσπότου σεμνῶν γέρα
οὐρανιδᾶν, ταμία στεροπᾶντε,
καὶ κεραυνῶν πυρπόλων.
εἰ θεοδμάτοις δ' ἀρετάς τις ἔχει
τάς δ' ἀνὴρ εἰρημένας,
ἄλλας τε πολλὰς ὄλβιος,

ἐπῳδ. κῶλ. ή.

πουλύτι χρυσοῦ τιμιωτέ-
ρας θεότιμος ἐών, τίν᾽ ὅγε
εὐλογίαν κε φύγοι
χαρίτων τόσαν λελογχὼς ἀγλααῖς;
ἴσθι δ᾽ εὐδόξῳ κεφαλᾷ τόδ᾽ ἔπος
προγόνων λαμπρῶν ἀγαυὲ
ἐμπρέπειν τεᾷ παῖ σαφῶς ἀσκαίνε.
ἐν μυχοῖς γὰρ κτήσαο

στροφ. β΄. κῶλ. ί.

χρυσαμπύκων μοισᾶν σοφᾶς
ὀργᾶς ἄωτον, λῆμάτ᾽ ἀπαγνύμενος
κᾶπον ἂν εὐθαλέα
γενναῖον. οὐ γὰρ πάντες ἐπιχθόνιοι
εὖ γεγῶτες καὶ καλοί,
ἢ δ᾽ ἀγαθοὶ τελέθουσιν, ἐπείπερ
ἄνθος ὥσπερ λείριον,
φθείρεται ῥεῖθρον τάχ᾽ ἄνευθε φυὲν
συγγενὲς θνατῶν κεδνάν,
ἣν μὴ τύχῃ μαθήσιος

ἀντίστροφ. κῶλ. ί.

ὀρθᾶς, ἀεξοίσας φυὰν
ἐσλὰν διαέντων κρέασονα μηδομένας.
σκαιὸς ἅπας δ᾽ ἀμαθής.
τιμὴ δὲ βρίθων ἀμφοτέραις χάρισιν
ταῖς δὲ σὰν ζωὰν διοι-
κεῖς, ἀφενόντε κράτισ᾽ ἀμέγαρτον,
πολλὰ μὲν πολλοῖς διδοὺς
καρδίᾳ ξείνοις μεγαλοπρεπεῖ,
πόλλ᾽ ἀχήνεσι βροτῶν,





εὐχρημάτων νικώμενος.

ἐπῳδ. κῶλ. ή.

ἀγανὸς ἔνθεν, καὶ προσηνὴς
ἔπλεο πᾶσιν εὖ ἀντιάων,
ὡς ἀγαθοῖσι δέον,
φιλέει τοὺς χειστὸς ἀνδρῶν κοίρανος.
χαῖρέ μοι φίλος, μέγαρόν τε κλυτὸν
ἀρεταῖς τεαῖς δ᾽ ἄγαλλε
μαρτινεγγιδᾶν, καὶ πάτραν ἁμετέραν
βριξίαν εὐάνορα.

## Εἰς τὴν πηγὴν ὁρατίου μαλαγουτίου ῥηγιέως τὴν ἐπικαλουμένην μαυρικίαν, ᾠδή.

στροφ. ά. κῶλ. ς΄.

Ἄλλος ἀνθρώπων ἑλικωνίδα κράναν,
ἄλλος ᾄνησεν ῥόον ἀέναον
ἀγλαᾶς δίρκας, ἐρατᾶν
τάν ποτ᾽ αἰολ᾽ ἀπύων μοισᾶν πίε κύκνος ἀερθεὶς
ἀδὺ πλαξίπποιο θήβας θάλος.
ἄλλος δ᾽ ἄειρε κασταλίαν λιβάδα.

ἀντίστροφ. κῶλ. ς΄.

ἀλλ᾽ ἐγὼ παγᾶς ἄγαμαι τὸ μελιχρὸν
νᾶμα, τᾷ θηβαῖος ἀγὸς σφέτερον
οὔνομα ξυνῶν γεραρὸν
παμφαὲς θεῦ τερπαῦχος πόρε μάρτυς ἀμύμων.
ἔνθα δὴ νυμφᾶν ἀκαδέων χοροὶ
θάλλουσι πυκνὰ σὺν θαλεραῖς χάρισιν

ἐπῳδ. κῶλ. ί.

ἔνθα δ᾽ ἰοστεφάνων μοισᾶν ὅμιλος
πιερίαν προλιποισᾶν εὐμελῆ

ὀπὶ θεοφθόγγῳ κελαδεῖν ἀρετάς,
ἐργάθ' ἡρώων φιλεῖ παλαιγόνων.
ἔνθ' ἀρειόστας ἀοίδιμον πόνον
κλεινὸς ᾠδὸς μήσατο.
καλλινάω δ' ἀμέρας ταύτας ἄναξ ὡράτιος
ξεῖνος ἐμός, τὸν θρέψε καλὸν
ἄστυ ῥηγίου φαεννὸν
πάτρας εὐάνδρου ἄστρον.

Εἰς δανίηλον κήριτον βρεξιάτην, ποιητὴν ἐπίσημον.

Οὐ περὶ παντόλου μουνοῦν ῥόον, οὐδὲ καΰστρου
ὀρνίθων μουσέων καλὸς ἔγεντο θρόος.
ἔστι δὲ καὶ μέλλης κλυέμεν ποταμοῖο παρ' ὄχθαις
αἱ μεδαποῦ κύκνων λειριόεσσαν ὄπα.
τῶν μέλος εἰσαΐων φαίης κ' ἔμμεν ἔτι χέρειον
οὔπερ ἔχει χλωρᾶν ἀστὴς ἐπ' εἰαμενᾶν.
εἰ δὲ τὸ θαυμαίνεις, μελιτερπέα φράζεο τοῦδε
ὄσσαν ἐμοί, φθόγγον τ' ὦ ξέν' ἐναρμόνιον.

Ταρκωνία μόλζῃ τῇ ἐπιφανεστάτῃ, καὶ
λογιωτάτῃ χαίρειν.

Καί σέ περ οὔποτ' ἐμοῖσιν ἐν ὀφθαλμοῖσιν ὄπωπα,
οὐδ' ἄθρησα τεοῦ σώματος ἀγλαΐην,
ἥνπερ ἐγὼ περίβλεπτον ἐν ἀνθρώποισιν πέπυσμαι
ἔμμεν, ὅσοις αἱρεῖ χρῆμα μαραινόμενον,
ἔμπαγε μὴν φρένος εἶδος ἐπήρατον ἔδρακον ὀξεῖ
σεῖο φίλη νοερῷ βλέμματι ταρκωνία,
ἱμερτὸν ψυχῆς σέθεν εἴσιδον ἀγλαὸν ἄνθος,
καὶ τὸ μάλ' ἠράσθην, ἠγασάμην τ' ἐσιδών.

ἄλλο



ἄλλο γὰρ ἀμφήριστον ἅμα πολλαῖσι γυναιξὶ
ξυνόν, ἀτὰρ μούνη τοῦτό γ' ἔχεις ἴδιον.
καί τε γὰρ ἄλλο χρόνου συχνοὶ ῥαίουσιν ὀδόντες,
τοῦτό τοι ἄφθαρτόν τ' ἀθάνατόν τε μένει.
ἄλλου δ' αὖ ῥοδόχροως μάλα κάρφεται αἰὲν ἐπ' ἦμαρ
ὥρῃ λευγαλέῳ γήραϊ τειρομένη.
τοῦ δὲ δι' αἰῶνος θαλέει χάρις ἱμερόεσσα,
ὡς μακάρων ἥβη ἄφθιτος οὐρανίων.
πᾶν δὲ θεόδμητον φθίνειν οὐκ οἶδεν ἀτειρὲς
ἔργον, ἀτὰρ θνητῶν πάντα μινυνθάδια,
νῦν δ' εὖ ἴσθι φίλη μ' ἀρετῶν περίπυστον ἄωτον
σεῖο λέγειν θείῃ χειρὶ φυτευόμενον.
στήθεσιν ἡμετέροις φαέων παρὰ πατρὸς ἐπανθεῖ
πᾶσα δόσις ζαθέη, πᾶν γέρας ἠγάθεον,
τοῦτο σοφαῖς πραπίδεσσι μεμιγμένον ἀμφιέπουσαν
φῦλον ὑπερβάλλειν φημί σε θηλυτέρων,
φημί σ' ἀριστεύειν μορφῇ θεοειδέϊ κουρέων
πασάων, ὅσσας γαῖα μέλαινα τρέφει,
οὔτις ἔχοι δ' εὑρεῖν πόσον ζείουσαν ἔρωτι
αἰπεινῆς σοφίης ῥηϊδίως ἑτέρην.
οὐδὲ μὲν οὐδ' ἄλλην ἀνέρων ἀγαπῶσαν ἀγαυὴν
τέτμοι που μᾶλλόν κ' ἠνορέην μεγάλων.
ὡς γοῦν καλλίστην σέ γ' ὀΐομαι ἀξιέραστον
πᾶσι πέλειν θείου κάλλεος ἱεμένοις,
πᾶσι θεοκτίστου μορφῆς τ' ἐρόεσσαν ἐρασταῖς,
ἡρώσαις γ' ἰκέλην ταῖς προτερηγενέσι,
τῶν κλέος οὔποτ' ὀλεῖται ἀοίδιμον, ἀλλὰ μάλ' αἰεὶ
αὔξεται, ὡς ὑγρὸν δένδρεον ἦρος ἀκμῇ.
χαῖρε γύναι θεότιμε διαμπερές, ἄφθονον ὄλβον
σοὶ θεὸς ἀθάνατος, ἀΐδιόν τε πόροι.

εἰς

Εἰς ῥώμην πόλιν τὴν βασιλίδα περὶ ἀλεξάνδρου φαρνησίου ῥωμαίου τοῦ ἐπιφανεστάτου καὶ μεγαλοπρεπεστάτου καρδιναλίου.

Νηρίθμοις ἐλόχευσας ἀριστῆας πάρος ἄκρους
ῥώμη παῖ μεγάλου κυδίστειρα διός,
οἳ κρατεροῖς ἔργοισιν ἀπείρονα δόξαν ἀνδρῶν
δῖαν ἀέξοντες μητέρ' ἀριστοτόκον.
νῦν δέ σε κυδαίνει φαρνήσιος ἀγλαὸς ἥρως
σεμνὸς ἀλέξανδρος σὸν τέκος ὁπλότερον,
πάντα κασιγνήτοις προτερηγενέεσσιν ἀγαυοῖς
εἴκελος ὑψηλαῖς ἀμφ' ἀρετῆς κορυφαῖς.
χαῖρε φίλη μῆτερ, τοιῷδ' ἐπαγάλλεο παιδί.
τὸν σά ποτ' εἰσαθρεῖν εὔχεο σκῆπτρα νέμειν.

εἰς ἱερώνυμον τόνσον μεδιολανέα.

Οὐδὲν πουλυκαλίμοισιν ἐφίμερον ἔπλετο μᾶλλον,
οὐδέ τι μᾶλλον ἔφυ τίμιον ἄλλο χρέος,
ἤπερ τῆς σοφίης κτέαρ ἄφθιτον ἀγλαοκάρπου,
ἀγλαὰ μουσάων δῶρά τ' ὀλυμπιάδων.
τοιγὰρ τοῖς δ' αἴων σε κεκάσθαι, καὶ μέγα βρίθειν,
εἴ τις ἐν εὐδόξοις ἄλλος ἀνὴρ ἰταλοῖς,
ἐκ θυμοῦ ταύταις χεδίοις σ' ἀσπάζομ' ἀοιδαῖς
ὦ γάθ' ἐφιμείρων σῆς ἐρατῆς φιλίης.

εἰς



εἰς ἰωάννην βαπτιστὴν τὸν ἀστέρα μοναχὸν ἐνάρετον καὶ δόκιμον.

Πολλὰ γόνον σ' ἀρετῆς, ἀστὴρ ἐμός, ἔμμεναι ἐλέγχει
γνήσιον, ἡρώων ἥ τέκε δῖα γένος.
ἀλλὰ τόγ' ἐκ πάντων μάλ' ἀριφραδὲς ἔπλετο τέκ-
ὅττι φιλεῖς μούσας, μουσοπόλων τε πόνους, (μωρ,
οἳ χρυσέοις ἐπέεσσι θεόφρονος ἤθεα μητρὸς,
ἔργά τ' ἀείδουσι, καὶ νόον ἠγάθεον.
πᾶσα καλὴ τιμαῖς, εὐηγορίαις τε γέγηθεν
εὐφήμοις γενεὴ τῶν γονέων ἀγαθῶν.

εἰς παῦλον μανούκιον ἄνδρα εὐφραδέστατον.

Εἴ τις ἀνὴρ σέο δῶμα μανύκιε φαίδιμ' ἀγινεῖ
κλεινὰ μελιφθόγγων δῶρ' ἑλικωνιάδων,
εἰς δρυμοὺς ξύλ' ἀγινεῖ, ἐπεὶ δόμον οὔτινά φημι
μᾶλλον ἐν αὐσονίοις τοῖσδε βρύειν κτέασιν.
εἰ δ' ὄλβῳ σοφίης τις ὑπέρτερον ἄλλον ἐνίσποι
σεῖο, παλαιμονέει χαῦνα κενῇ πραπίδι.
ἀλλὰ καλὸς στέλλης ἡμῶν φίλος ὦρσεν ἑταῖρος
τοιάδε σοὶ πέμψαι, καίπερ ἄμουσα γέρα.

εἰς ἄγαλμα δομινικοῦ ῥωβακίου ἀκέστορος περισήμου.

Κρειακοῖο τόδ' εἶδος ἀγακλέος, ὃς πολιήταις
οἳ δὲ θανεῖν δοκέουσι βίου πάλιν ἐλπίδ' ἀέξειν
ἰητρὸς γὰρ ἔην σοφίῃ προφερέστερος ἄλλων,
ὅσσοι νῦν ζώουσιν ἀρούρης καρπὸν ἔδοντες.
μάρτυς ἐγών, ὃς πολλὰ παθών, καὶ πολλὰ μογήσας

M M ἐρρύ-

ἐρρύσθην νούσοιο κακῆς τοῦδ' ἀνδρὸς ἀρωγῇ.

εἰς τὸν αὐτόν.

γινώσκεις τόδ' ἄγαλμα; τίνος πέλει; ἀνδρὸς ἀρίστου,
ὃς ψυχὰς ἀνάγειν οἶδε πυλῶν ἀΐδου.
πῶς τόσα θνητὸς ἐὼν δύνατο; ζωαρκεῖ τέχνῃ,
τῇπερ ἅπαν σβέννυ πῆμα λυγρὸν μελέων.

εἰς μέτελλον τεθνηκότα πολίτην βριξιάτην
ἄνδρα πολυμαθέστατον.

ΕΝθάδε κλεινὸν ἔθαψαν ἐν ἀνθρώποισι μετέλ- (λου
εὖχος ἀείμνηστον βριξιέων πόλεως.
καὶ γὰρ ἔην χαρίτων πολυήρατον ἡδὺ μέλημα,
ἦν δ' ἑλικωνιάδων ἄνθος ἐϋπλοκάμων.
ἔσκε δ' ἐν εὐαγέεσσι θεουδείης μέγ' ἄγαλμα,
ἔσκε μετ' εὐόρκοις ὄμμα δικαιοσύνης.
ἀλλ' ἔτι τηλίκον ἄνδρα μέλας μόρος εἷλε μεμαρπώς,
καί σε ποθ' αἱρήσειν ἔλπεο κῆρα λυγρήν.

εἰς τὸν αὐτόν.

ὁ πρὶν κυδήνας πολυπίδακα βριξίαν ἀνὴρ
ὧδε θανὼν κεῖται λῆξιν ἔχων καμάτων.
κύδηνε δὲ λόγοισι, καὶ ἤθεσι κυδαλίμοισιν,
εἴνύ τις ἄλλος ἀνὴρ πατρίδα τὴν σφετέρην.
τοῦ χάριν εὐγνώμων καλὸν τόδε σῆμα πολίτῃ
θῆκε πόλις μνήμην πορσανέουσα γόνου.

εἰς στιγίσμονδον ζανετὸν μοναχὸν τὸν φιλόσοφον,
καὶ ποιητήν.

Δέξαθι σέο δῶρον, ἐμοὶ πόρε μαῦρος ἀμύμων,
μουσῶν μ' ἄωτον ἀγλαὸν

ἴσθι,



ἴσθι, τὴν πλήρη σοφίης νεοτευχέα βίβλον,
καὶ παγκάλων νοημάτων:
ἥσ' ἐπέδειξεν ἐόντ' ἡμῖν πολυΐδριν ἀοιδὸν
πολλῶν μάλισθ' ὑπέρτερον,
ἠδὲ καὶ ἀμφιλαφᾶν μύθων ῥητῆρα ῥέοντα,
δίκην παλαιοῦ νέστορος.
τόν ποθ' ὅμηρος ἔφη λογιώτατον ἄνδρα γενέσθαι
τρίτην μολόντων ἱερήν.
ἀλλὰ τὰ καὶ πρότερον καλά τοι γίσμονδε περίφερον
ἐγὼ συνοῖδά πως γέρα.
νῦν δὲ τὴν βίβλον περικαλλέα πᾶσαν ἀναγνοὺς
πρηῢν τε, καὶ σαόφρονα
ἀτρεκέως σ' ἐνόησα σοφαῖς ἀνθοῦντα φρένεσσιν,
ὡς φασὶ κλεινὸν σωκράτην.
τόν ῥα παρὰ τριπόδεσσι σοφώτατον ἔχρασεν εἶναι
ὁ δελφικὸς δαίμων πάλαι
οὕνεκεν ἐν στήθεσσιν ἐνηέα θυμὸν ἔφερβεν,
ὀργῆς τε πάσης κρείσσονα.
κἄν τις λωβητήρ οἱ ἐπεσβόλος ἔφλυσε πολλὰ
δύσφημ' ἀναιδῶς ῥήματα.
ὕβρεσι γὰρ κρατέων νίκης πολυγηθέ' ὄλεσσεν
ἄεθλα πᾶς ἡσσώμενος.

πρὸς τὸν ἑαυτοῦ θυμόν.

Θυμὲ τί μαργαίνεις κνίζων πάλαι αἰὲν ἐπ' ἦμαρ
κέαρ μ' ἀκράντοις ἐλπίσιν.
οὐδέ μ' ἐᾷς τὴν ὄνησιν ἔχειν καθαρὴν παρεόντων
ἄπον θάμ' αἰτίζων κλέος.
οὐ δύναμαί τοι πάντα βραχὺς καταθύμια ῥέζειν,
καὶ πολλάπερ καμὼν βροτός.

οὐδὲ μὲν εὐδαίμων τὶς ἐπὶ χθονὶ πάντα πέφυκεν,
ἀλλ' ἄλλος ἄλλων προσδεὴς
ζώει ἀμηχανίῃσι παλαίων νύκτα καὶ ἦμαρ
ποθῶν κακῶν εὑρεῖν λύσιν,
ἀλλὰ μάτην ἀπσεύδει στρωφώμενος ἔνθα καὶ ἔνθα,
πόνων δ' ἐρωδυνῶν ἄμμορον
οὔτιν' ἀπὸ δμώων κεν ἔχοις ποτ' ἰδεῖν τὰ λαεργῶν,
μέσφ' εἰς ἀνάκτων υἱέας.
τοὔνεκα ὧν ἀγαθῶν ἔτυχες, βαιῶν περ ἐόντων,
εὔφρων τ' ὄναιο χ' ἥσυχος.
χρῆμα δὲ παρπόδιον θνητοῖς μερόπεσσιν ἄρειον
ἀπόντος αἰὲν ἔρχεται.
μακρὰ δὲ παπταίνων οὐδ' αἰσθάνεται παρεόντων
δειθεὶς ἀναιδεῖ φροντίδι.
εἰ δὲ παρὰ γνώμην πίπτει τινὰ τέρψιος αὐτὴν
μή μοι κατηφὴς ἄχθεο.
μηδὲ φίλον καινῶνα δίδου λυγραῖσιν ἀνίαις
γνοὺς μορσίμους διὸς πίθοις.
ἣν δ' ἡμῖν ἔγραψε θεὸς δραμέειν ποτὶ σταθμήν,
νόῳ δραμῶμεν πρόφρονι.

Περὶ τοῦ διονυσίου μοναχοῦ εὐσεβεστάτου καὶ ποιητοῦ γλυκυτάτου.

Δεινῶς ξυχόμενον ζάλης ἀέλλαις,
πολλὰ συντυχίας παθόντα λυγρὰς
πήματα τραφερήν τε, καὶ καθ' ὑγρὰν,
τέλος δ' εἰς ἐρατοὺς βάλεν με κόλπους
δυσαὴς ἄνεμος κλυτῆς λεείνης,
κλυτῆς ποντιάδων μάλιστα νήσων,

τὴν



τὴν μάλ' ὑψιμέδων ἄναξ γέρηρεν.
τῇδ' ἐρειδόμενον λάβεν με πρέσβυς
θεόφρων, γεραρὸς, καλόν τι θρέμμα
μουσῶν καὶ χαρίτων ξένοι καμόντα.
καί με δεξάμενος θεὸς θυγατρῶν
ἦγεν εἰς ἱεροὺς μυχοὺς φιλόφρων.
ἔστι δ' εἰσαΐειν ἐκεῖσ' ἰόντι
φωνῆς ἀθανάτου θεῶν ἀδουσῶν.
καὶ πᾶς εἰσαΐων ἄκους ἀπαύστων
τυχεῖ τῶν προτέρων τάχιστα μόχθων.
ὡς οὖν μελπομένων θεῶν ἄκουσα,
ἀμπνοῆς καμάτων, κακῶν τε λήθην,
καὶ πάντων ἀχέων ἔκυρσα λύξου,
καὶ πρὸς εὐφροσύνην τράπην γλυκεῖαν.

εἰς τινα φθονερὸν, καὶ βλάσφημον ἰαμβεῖον.

Σαφὴς ἔλεγχός ἐστιν ἡ πεῖρα βροτῶν.
ὁ κύκνος εἶπε τοῦτον ἐν θήβαις λόγον
διρκαῖος, ὕμνων τῶν σοφῶν ἐσθλὸς πατήρ.
ἐγὼ μὲν ἄνδρα δεινὸν ἐν λόγοις ἄγαν,
ἔμπειρον ᾠδῶν, καὶ καλῶν μαθημάτων
ᾤμην σ' ἔναγχος, ἀλλ' ἐπεὶ τῶν σῶν τρόπων
εἰς πεῖραν ἦλθον τῶν πρὶν ἠγνοημένων,
ταύτην φέρω τὴν ψῆφον οὐκ ἄτερ δίκης.
ἤτοι σε σκαιὸν τυγχάνειν, κ' ἀμουσίας
γέμοντα πάσης, ἢ φθόνῳ βεβλαμμένον,
δειλῶν ὃς ἀνδρῶν τὴν κενὴν φθείρων φρένα
σκότῳ κυλίνδει, τοῦ τ' ἀληθὲς μὴ βλέπειν.
ἢ τοῖνδε μᾶλλον τοῖν δυοῖν κακοῖν νοσεῖν.

ῥητῶν δ'

ῥητῶν δ' ἐναργὲς τῶν δ' ἐμοὶ τεκμήριον.
ὅτι φρενοπλὴξ σὺ ψέγεις μηδὲν ποιῶν
ταὐτὰ πολλοῖς τῶν σοφῶν δεδογμένα,
κ' αὐτοῖς ἀνάπτεις τοῖς σοφοῖς μομφὴν κακήν.
ἐχρῆν γὰρ αὐτὸν τῶν δὲ κρείττονα δρᾶσαι
τὸν ἐγκαλεῖν μέλλοντα τοῖς ἄλλων πόνοις.
γνοὺς οὖν σε κρίνειν ἐν πάθει θυμοφθόρῳ,
κακῶς κριθεῖσι παρ' σέθεν γ' οὐκ ἐμμένω.

εἰς ἴσορα μαρτινέγγιον τὸν αὐτοῦ ἀνεψιόν,
νεανίαν ἐκπρεπῆ.

ΠΟυλυμνᾶσ' ἄλλοις ἐρόεντα ποιεῖ
ἀχάρις μάτηρ φιλότατος ἱερᾶς,
εὐκλεὴς μορφᾶς ταμία θεατᾶς,
φίντατε παίδων.
ἅδε δ' ἀνθρώπων σοβαρῶν περ ὄντων
ἦτορ ἐν στέρνοις δονέοισα πειθοῖ
δάμναται χωρὶς ῥαδινᾶν λιτάων,
πότνι' ἄνασσα.
αἰὲν ἱμερτὰ βροτέα γενέθλα
ἔρχεται τέρψιν θαλερὰν φέροισα
οὖσα τιμαλφὴς θυγάτηρ κρατίστω
οὐρανιώνων.
ἀλλ' ἐμᾶ ψυχᾶ χαρίεν τι φίλτρον
μᾶσσον ἐμβάλλει σέθεν εἶδος ὀργᾶς
ἁβρόν, ἱμερόεστ' ἀρετᾶς πόνοιο
παιδὸς ἐραννᾶς.
ἃ πολύκλειτον μορόπεσσιν ἄνδρα
μήδεται θνατόν, μετέπειτα δ' αὐτὸν
ἄφθιτον θασεῖ βασιλῆα λαμπρῷ
ἐντὸς ὀλύμπω.

εἰς



εἰς τὸν αὐτὸν ἀνακρεόντειον.

πολύ μοι φίλαιτατ' ἴσορ,
χαρίτων θάλος φαεινόν,
φίλα τοι φρενῶν ἀθύρω,
ἀγαθὴν διδοὺς ἐφετμὴν
ἐθέλων γ' ἰδεῖν σε κλειτὸν
ποθέων μάλιστα πάντων.
χερὶ γοῦν σ' ἑλόντα λαμπρὸν
ῥαδινῇ κάτοπτρον ἀθρεῖν
κέλομαι τὸ καλὸν εἶδος
ἑαυτοῦ σέθεν προσώπου,
φάος ὀμμάτων τὸ φαιδρὸν
χ' ἁπαλὸν ῥόδον παρειῶν,
τό, τε λοιπὸν ἄνθος ἥβης,
καθάπις σοφῶν κέλευεν
τόδε δὴ ποιεῖν κατ' ἦμαρ,
ἵνα σεῦ καλῆς ὀπωπῆς
ἐσορῶν χάριν θεητόν,
ἅμα καὶ τὸ σῶμ' ἄμωμον,
σύγε μήποτ' οὐθὲν αἰσχρὸν
κατὰ σὴν φυὴν ἐλέγχων
χαρίεσσαν ἐκτελέσης.
μετίης δὲ κεῖνα πάντα
ὅσ' ἐλευθέροις προσῆκεν
ἀρετῇ διαπρέπουσιν.
ἵν' ἰδών σ' ἀνήρ τις ἔμφρων
περὶ σοῦ λέγοιτ' ἀγαθεῖς.
ὁ νεηνίης ἴδ' οὗτος
χρόα μὲν μάλ' ἐστὶ καλὸς
πολὺ καλλίων δὲ θυμόν.

Τέλος τῶν τοῦ τίτου στροζαπέρου μετρηνεγγίου, μοναχοῦ κασινάτου ἑλληνικῶν ποιημάτων.

Excusum iam opus cum manuscripto contulimus, & animaduertimus in eo nonnullas reperiri lectionis varietates & præterea pauca quædam in hoc impressum irrepsisse errata, quæ tam etsi parui videbantur esse momenti, nihilominus hic adnotanda curauimus. & primo pag. 4. versu 14. εὔφεγγες, εὐφεγγὲς. vers. 22. ἔλαχον, al. ἔμμορεν. pag. 13. vers. 30. ἐπὶ κόρης ἐπὶ κόρρης. pag. 14. ver. 11. τὸ μεἴάφρενον al. δὲ μετάφρενον. pag. 15. vers. 26. θυμοδάκεσσι, θυμοδακέσσι. pag. 20. ἀέργηλος, ἀεργηλός. pag. 31. vers. 5. κατέβροξε al. κατέβρωξε pag. 43. vers. 26. κληθείη νεήλος &c. al. κληθείη νεήλος, ὅς οὐ τόσον ἀγλαΐεῖσθαι υἷα λέγοι δόξῃ μητρὸς, ὅσον σφετέρῃ. pag. 48. ὄρσο σὺ, καὶ χηλὸς μεγάλῳ πολύθεστε τοκῆϊ υἱὲ, σέθεν κάρτευς, εἰς ἀνάπαυμα ἰεὸν al. ὄρσο σὺ, καὶ χηλὸς σέο κάρτεος ἀρχὲ δαΐφρων ὄρσο, καὶ εἰσέλασον εἰς ἀνάπαυμα τεόν. pag. 51. vers. 12. πρὸς θεοῦ ἄστυ βροτούς. al. πρὸς θεὸν ἄμμε μέγαν pag. 58. πρὸς δ' ἔθ' ἴλαι, πρὸς δ' ἔτ' ἴλα. nam ἴλη cum nota tenui scribitur, tametsi ab aspirato verbo descendit εἰλύω. pag. 60. vers. 19. αἴθων, αἶθων pag. 139. post versiculum ἀλλὰ τί σῷ προσρέπω, deest versus τῷ ποθοῦντι σ' ἠπύειν. pag. 255. εἰς deest ι nam εἰσὶ scribendum est.